eul_wid: jds-ab

*Φύλαρχος ὁ Ἀθηναῖος* · Phylarchus of Athens

# Historical Fragments and Anecdotes

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

2a,81,F 1 ATHEN. VIII 9 p. 334 AB: οἶδα δὲ καὶ Φύλαρχον εἰρηκότα που περὶ μεγάλων ἰχθύων καὶ τῶν συμπεμφθέντων αὐτοῖς σύκων χλωρῶν, ὅτι αἰνιττόμενος Πάτροκλος ὁ Πτολεμαίου στρατηγὸς Ἀντιγόνωι τῶι βασιλεῖ ἔπεμπεν, ὡς Δαρείωι Σκύθαι ἐπερχομένωι αὐτῶν τῆι χώραι. ἔπεμψαν γὰρ οὗτοι μέν, ὥς φησιν Ἡρόδοτος (IV 131) ὄρνιν καὶ ὀιστὸν καὶ βάτραχον· ἀλλ᾽ ὅ γε Πάτροκλος, ὡς διὰ τῆς τρίτης τῶν Ἱστοριῶν φησιν ὁ Φύλαρχος, πεμφθέντων τῶν προειρημένων σύκων καὶ ἰχθύων 〈ἠινίττετο διὰ τούτων〉 . ἐτύγχανεν δὲ κωθωνιζόμενος ὁ βασιλεύς, καὶ ὡς πάντες διηποροῦντο ἐπὶ τοῖς δώροις, ὁ Ἀντίγονος γελάσας πρὸς τοὺς φίλους ἔφη γινώσκειν τί βούλεται τὰ ξένια· ἢ γὰρ θαλαττοκρατεῖν ἡμᾶς φησι Πάτροκλος ἢ τῶν σύκων τρώγειν.

2a,81,F 2 —IV 34 p. 150 D—F: ἐν δὲ τῆι τρίτηι ὁ αὐτὸς Φύλαρχος Ἀριάμνην φησὶ τὸν Γαλάτην πλουσιώτατον ὄντα ἐπαγγείλασθαι ἑστιᾶσαι Γαλάτας πάντας ἐνιαυτόν, καὶ τοῦτο συντελέσαι ποιήσαντα οὕτως· κατὰ τόπους τῆς χώρας [καὶ] τὰς ἐπικαιροτάτας τῶν ὁδῶν διέλαβε σταθμοῖς ἐπί τε τούτοις ἐκ χαράκων καὶ [τῶν] καλάμων τῶν [τε] οἰσυίνων ἐπεβάλλετο σκηνὰς χωρούσας ἀνὰ τετρακοσίους ἄνδρας καὶ πλείους ἔτι, καθὼς ἂν ἐκποιῶσιν οἱ τόποι τό τ᾽ ἀπὸ τῶν πόλεων δέξασθαι καὶ τῶν κωμῶν μέλλον ἐπιρρεῖν πλῆθος. ἐνταῦθα δὲ λέβητας ἐπέστησε κρεῶν παντοδαπῶν μεγάλους, οὓς πρὸ ἐνιαυτοῦ καὶ πρὸ τοῦ μέλλειν μεταπεμψάμενος τεχνίτας ἐξ ἄλλων πόλεων ἐχαλκεύσατο. θύματα δὲ καταβάλλεσθαι ταύρων καὶ συῶν καὶ προβάτων τε καὶ 〈τῶν〉 λοιπῶν κτηνῶν ἑκάστης ἡμέρας πολλά, πίθους τε οἴνου παρασκευά〈ζε〉σθαι καὶ πλῆθος ἀλφίτων πεφυραμένων. « καὶ οὐ μόνο ν » φησίν « οἱ παραγινόμενοι τῶν Γαλατῶν ἀπὸ τῶν κωμῶν καὶ τῶν πόλεων ἀπέλαυο ν , ἀλλὰ καὶ οἱ παριόντες ξένοι ὑπὸ τῶν ἐφεστηκότων παίδων οὐκ ἠφίεντο ἕως ἂν μεταλάβωσι τῶν παρασκευασθέντω ν. »

2a,81,F 3 —X 4 p. 412 F—413 A: Φύλαρχος δέ φησιν ἐν τῆι γ τῶν Ἱστοριῶν τὸν Μίλωνα ταῦρον καταφαγεῖν κατακλιθέντα πρὸ τοῦ βωμοῦ τοῦ Διός. διὸ καὶ ποιῆσαι εἰς αὐτὸν Δωριέα τὸν ποιητὴν τάδε· Τοῖος ἔην Μίλων, ὅτ᾽ ἀπὸ χθονὸς ἤρατο βρῖθος, τετραέτη δαμάλην ἐν Διὸς εἰλαπίναις· ὤμοις δὲ κτῆνος τὸ πελώριον ὡς νέον ἄρνα ἤνεγκεν δι᾽ ὅλης κοῦφα πανηγύρεως. καὶ θάμβος μέν, ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου· ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε κόψας πάντα κατ᾽ οὖν μοῦνος ἐδαίσατό νιν.

2a,81,F 4a ATHEN. VIII 6 p. 333 A: οἶδα δὲ καὶ πολλαχοῦ ὕσαντα τὸν θεὸν ἰχθύσι· Φαινίας γοῦν ἐν δευτέρωι Πρυτάνεων Ἐρεσίων (IV) ἐν Χερρονήσωι φησὶν ἐπὶ τρεῖς ἡμέρας ὗσαι τὸν θεὸν

ἰχθύας. καὶ Φύλαρχος δ’ ἐν τετάρτηι ἑωρακέναι τινὰς [πολλαχοῦ τὸν θεὸν ὕσαντα ἰχθύσι] ** πολλάκις δὲ καὶ γυρίνοις τοῦ αὐτοῦ συμβαίνοντος καὶ ἐπὶ βατράχων. Ἡρακλείδης γοῦν ὁ Λέμβος ἐν τῆι κα τῶν Ἱστοριῶν (IV) ‘περὶ τὴν Παιονίαν καὶ Δαρδανίαν βατράχουσ‘, φησίν, ‘ὗεν ὁ θεὸς .......‘.

2a,81,F 4b PAP. OX. XV 1801 (Glossar s. I) col. II 43: [ ... ] . στις ἀκρίδας [ . ]ρ[ . ] . ατρα[ .......... ] καὶ Φύλαρχος ἐν τῆι δ [ ..........

2a,81,F 5 ATHEN. IX 64 p. 401 D: καὶ Αἰτωλῶν δὲ οἶδα στρατηγὸν Σύαγρον, οὗ μνημονεύει Φύλαρχος ἐν τετάρτηι Ἱστοριῶν.

2a,81,F 6 ATHEN. X 51 p. 438 CD: Φύλαρχος δὲ ἐν τῆι ἕκτηι τῶν Ἱστοριῶν Ἀντίοχόν φησι τὸν βασιλέα φίλοινον γενόμενον μεθύσκεσθαί τε καὶ κοιμᾶσθαι ἐπὶ πλέον, εἶθ’ ἑσπέρας πάλιν ἀφυπνιζόμενον ἐπιπίνειν. « ἐχρημάτιζέτ ε», φησί, « νήφων μὲν βραχέα τελέω ς , μεθύων δὲ τὰ πολλ ά . διὸ περὶ αὐτὸν δύο ἦσαν οἱ διοικοῦντες τὴν βασιλεία ν , Ἄριστος (143 T 3) καὶ Θεμίσω ν , Κύπριοι μὲν γένος καὶ ἀδελφο ί , ἐρώμενοι δὲ ἀμφότεροι τοῦ Ἀντιόχο υ. »

2a,81,F 7 —X 59 p. 442 C (EUST. Il. Φ 388): Φύλαρχος δ’ ἐν ἕκτηι Βυζαντίους οἰνόφλυγας ὄντας ἐν τοῖς καπηλείοις οἰκεῖν, ἐκμισθώσαντας τοὺς ἑαυτῶν θαλάμους μετὰ τῶν γυναικῶν τοῖς ξένοις, πολεμίας σάλπιγγος οὐδὲ ἐν ὕπνοις ὑπομένοντας ἀκοῦσαι.

2a,81,F 8 —VI 101 p. 271 BC: Φύλαρχος δ’ ἐν ἕκτηι Ἱστοριῶν καὶ Βυζαντίους φησὶν οὕτω Βιθυνῶν δεσπόσαι ὡς Λακεδαιμονίους τῶν εἱλώτων.

2a,81,F 9 —IV 34 p. 150 D: παρὰ δὲ Γαλάταις φησὶ Φύλαρχος ἐν τῆι ἕκτηι ἐπὶ ταῖς τραπέζαις ἄρτους πολλοὺς κατακεκλασμένους παρατίθεσθαι χύδην καὶ κρέατα ἐκ τῶν λεβήτων, ὧν οὐδεὶς γεύεται εἰ μὴ πρότερον θεάσηται τὸν βασιλέα εἰ ἥψατο τῶν παρακειμένων.

2a,81,F 10 —III 21 p. 81 E: Φύλαρχος δ’ ἐν τῆι ς τῶν Ἱστοριῶν τὰ κυδώνιά φησι μῆλα τῆι εὐωδίαι καὶ τὰς τῶν θανασίμων φαρμάκων δυνάμεις ἀπαμβλύνειν. τὸ γοῦν Φαριακὸν φάρμακον ἐμβληθέ ν , φησίν, εἰς ῥίσκον ἔτι ὀδωδότα ἀπὸ τῆς τῶν μήλων τούτων συνθέσεως ἐξίτηλον γενέσθαι μὴ τηρῆσαν τὴν ἰδίαν δύναμι ν . κερασθὲν γοῦν καὶ δοθὲν πιεῖν τοῖς εἰς τοῦτο ἐνεδρευθεῖσιν ἀπαθεῖς αὐτοὺς διατηρῆσα ι . ἐπιγνωσθῆναι δὲ τοῦτο ὕστερον ἐξ ἀνακρίσεως τοῦ τὸ φάρμακον πωλήσαντος καὶ ἐπιγνόντος τὸ γενόμενον ἐκ τῆς τῶν μήλων συνθέσεω ς .

2a,81,F 11 —VI 58 p. 251 C: Φύλαρχος δὲ ἐν ς Ἱστοριῶν Νικησίαν φησὶ τὸν Ἀλεξάνδρου κόλακα θεασάμενον τὸν βασιλέα σπαρασσόμενον ὑφ’ οὗ εἰλήφει φαρμάκου εἰπεῖν ‘ὦ βασιλεῦ, τί δεῖ ποιεῖν ἡμᾶς, ὅτε καὶ ὑμεῖς οἱ θεοὶ τοιαῦτα πάσχετε;‘ καὶ τὸν Ἀλέξανδρον μόλις ἀναβλέψαντα, ‘ποῖοι θεοί;‘, φῆσαι, ‘φοβοῦμαι μή τι θεοῖσιν ἐχθροί‘.

2a,81,F 12 —XIV 3 p. 614 E—615 A: φιλόγελως δὲ ἦν καὶ Δημήτριος ὁ Πολιορκητής, ὥς φησι Φύλαρχος ἐν τῆι ς τῶν Ἱστοριῶν, ὅς γε καὶ τὴν Λυσιμάχου αὐλὴν κωμικῆς σκηνῆς οὐδὲν διαφέρειν ἔλεγεν· ἐξιέναι γὰρ ἀπ’ αὐτῆς πάντας δισυλλάβους (τόν τε Βῖθυν χλευάζων καὶ τὸν Πάριν, μεγίστους ὄντας παρὰ τῶι Λυσιμάχωι, καί τινας ἑτέρους τῶν φίλων), παρὰ δ’ αὐτοῦ Πευκέστας καὶ Μενελάους, ἔτι δὲ Ὀξυθέμιδας. ταῦτα δ’ ἀκούων ὁ Λυσίμαχος ‘ἐγὼ τοίνυν‘, ἔφη, ‘πόρνην ἐκ τραγικῆς σκηνῆς οὐχ ἑώρακα ἐξιοῦσαν‘, τὴν αὐλητρίδα Λάμιαν λέγων. ἀπαγγελθέντος δὲ καὶ τούτου πάλιν ὑπολαβὼν ὁ Δημήτριος ἔφη· ‘ἀλλ’ ἡ παρ’ ἐμοὶ πόρνη σωφρονέστερον τῆς παρ’ ἐκείνωι Πηνελόπης ζῆι.‘

2a,81,F 13 ATHEN. II 21 p. 44 B (CONSTANT. PORPH. De adm. imp. 23): φησὶ δὲ καὶ 〈ἐν τῆι ἑβδόμηι〉 τοὺς Ἴβηρας πάντας ὑδροποτεῖν καίτοι πλουσιωτάτους ἀνθρώπων ὄντας· 〈κέκτηνται γὰρ ἄργυρον καὶ χρυσὸν πλεῖστον〉. μονοσιτεῖν τε αὐτοὺς ἀεὶ λέγει διὰ μικρολογίαν, ἐσθῆτας δὲ φορεῖν πολυτελεστάτας.

2a,81,F 14

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—XV 15 p. 673 F: μόνον γὰρ τοῦτ’ ἴδιον εἴρηκεν (sc. Ἡφαιστίων), ὅτι Φύλαρχος ἐν τῆι ἑβδόμηι τῶν Ἱστοριῶν οἶδεν τὴν κατὰ 〈τὴν〉 λύγον ἱστορίαν, καὶ ὅτι οὔτε τὰ Νικαινέτου (673 BC) οἶδεν οὔτε τὰ Ἀνακρέοντος (637 D) ὁ συγγραφεύς· ἀπέδειξε δὲ καὶ διαφωνοῦντα αὐτὸν κατ’ ἔνια τῶν ἱστορηθέντων παρὰ τῶι Μηνοδότωι (82).

2a,81,F 15 SCHOL. APOLL. RHOD. IV 1561: Εὐρύπυλος Ποσειδῶνος υἱὸς καὶ Κελαινοῦς τῆς Ἄτλαντος, βασιλεὺς δὲ Κυρήνης. Φύλαρχος δὲ ἐν ἑβδόμωι Εὔρυτον αὐτὸν καλεῖ καὶ ἀδελφὸν αὐτοῦ ἀναγράφει Λυκάονα. Ἀκέσανδρος δὲ ἐν πρώτωι περὶ Κυρήνης (III) μετ’ αὐτὸν βασιλεῦσαί φησι Λιβύης Κυρήνην τὴν Ὑψέως.

2a,81,F 16* SCHOL. APOLL. RHOD. II 498: Ἀκέστωρ (?) ... ἱστορεῖ ἐπ’ Εὐρυπύλου βασιλεύοντος Κυρήνης ὡς ὑπὸ Ἀπόλλωνος διακομισθείη ἡ Κυρήνη, λέοντος δὲ τὴν χώραν λυμαινομένου προθείη τὴν βασιλείαν ὁ Εὐρύπυλος ἆθλον τῶι ἀποκτενοῦντι τὸν λέοντα· τὴν δὲ διαχρήσασθαι αὐτὸν καὶ τὴν βασιλείαν λαβεῖν. παῖδας δὲ αὐτῆς γενέσθαι Αὐτοῦχον καὶ Ἀρισταῖον. φησὶ δὲ αὐτὴν Φύλαρχος ἐλθεῖν μετὰ πλειόνων εἰς Λιβύην, τούτων δὲ ἐκπεμφθέντων ἐπὶ τὴν κυνηγεσίαν τούτοις καὶ αὐτὴν συνεξελθεῖν κἀκεῖ ἀνελεῖν τὸν λέοντα καὶ λαβεῖν τὴν βασιλείαν. ἐγέννησε δὲ ἐξ Ἀπόλλωνος παῖδας δύο, Αὐτοῦχον καὶ Ἀρισταῖον· Αὐτοῦχος μὲν ἐν Λιβύηι ἔμεινεν, Ἀρισταῖος δὲ ἀφίκετο εἰς Κέω.

2a,81,F 17 APOLLON. Hist. mir. 14: Φύλαρχος ἐν τῆι η τῶν Ἱστοριῶν καὶ κατὰ τὸν Ἀράβιόν φησι κόλπον πηγὴν εἶναι ὕδατος, ἐξ οὗ εἴ τις τοὺς πόδας χρίσειεν, συμβαίνειν εὐθέως ἐντείνεσθαι ἐπὶ πολὺ τὸ αἰδοῖον, καὶ τινῶν μὲν μηδ’ ὅλως συστέλλεσθαι, τινῶν δὲ μετὰ μεγάλης κακοπαθείας καὶ θεραπείας ἀποκαθίστασθαι.

2a,81,F 18 SEXT. EMP. adv. math. I 262 (SCHOL. EURIP. Alk. 1; SCHOL. PIND. P. III 96): Φύλαρχος δὲ ἐν τῆι ἐνάτηι διὰ τὸ τοὺς Φινέως υἱοὺς τυφλωθέντας ἀποκαταστῆσαι, χαριζόμενον αὐτῶν τῆι μητρὶ Κλεοπάτραι τῆι Ἐρεχθέως (sc. κεραυνωθῆναι τὸν Ἀσκληπιὸν λέγει).

2a,81,F 19 Athen. VI 78 p. 261 B: καὶ Δημήτριος δ’ ὁ Πολιορκητὴς φιλόγελως ἦν, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῆι δεκάτηι τῶν Ἱστοριῶν.

2a,81,F 20 —XII 51 p. 536 D: Φύλαρχος δὲ ἐν τῆι ι τῶν Ἱστοριῶν Θραικῶν φησι τῶν καλουμένων Κροβύζων βασιλέα γενέσθαι Ἰσάνθην, τρυφῆι πάντας τοὺς καθ’ ἑαυτὸν ὑπερβαλλόμενον. ἦν δὲ καὶ πλούσιος καὶ καλός.

2a,81,F 21 —XIII 89 p. 609 B C: καλλίστη δ’ ἦν καὶ Παντίκα ἡ Κυπρία, περὶ ἧς φησι Φύλαρχος ἐν τῆι δεκάτηι τῶν Ἱστοριῶν ὅτι παρ’ Ὀλυμπιάδι οὖσαν τῆι Ἀλεξάνδρου μητρὶ ἤιτει πρὸς γάμον Μόνιμος ὁ Πυθίωνος. καὶ ἐπεὶ ἦν ἀκόλαστος ἡ γυνή, ἔφη ἡ Ὀλυμπιάς· ‘ὦ πόνηρε, τοῖς ὀφθαλμοῖς γαμεῖς καὶ οὐ τῶι νῶι.‘ καὶ τὴν καταγαγοῦσαν δὲ Πεισίστρατον ἐπὶ τὴν τυραννίδα, ὡς Ἀθηνᾶς πειραν εἶδος ἔχουσαν, καλήν φησι γεγονέναι, ἥτις καὶ τῆι θεῶι εἴκαστο τὴν μορφήν. στεφανόπωλις δ’ ἦν, καὶ αὐτὴν ἐξέδωκε πρὸς γάμου κοινωνίαν ὁ Πεισίστρατος Ἱππάρχωι τῶι υἱῶι, ὡς Ἀντικλείδης ἱστορεῖ ἐν η Νόστων (140 F 6): ‘ἐξέδωκεν ...‘

2a,81,F 22 Phot. Suid. s. τιάρα (Schol. Arist. av. 487): κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις, οἱ δὲ στρατηγοὶ κεκλιμένην. καὶ Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημερίας συγχωρήσαντος αὐτῶι τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῆι τῆι τιάραι εἰς Σάρδεις εἰσελάσαι, ὡς Φύλαρχος ἐν ι .

2a,81,F 23 ATHEN. XII 37 p. 528 C: τοὺς δὲ Κουρῆτας Φύλαρχος διὰ τῆς ια τῶν Ἱστοριῶν Αἰσχύλον ἱστορεῖν διὰ τὴν τρυφὴν τυχεῖν τῆς προσηγορίας (F 313 N 2 ): ‘χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς· ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤινεσαν.‘

2a,81,F 24 ATHEN. XIII 64 p. 593 B—D: Δανάην δὲ τὴν Λεοντίου τῆς Ἐπικουρείου θυγατέρα ἑταιριζομένην καὶ αὐτὴν Σώφρων εἶχεν ὁ ἐπὶ τῆς Ἐφέσου· δι’ ἣν αὐτὸς μὲν ἐσώθη ἐπιβουλευόμενος ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λαοδίκης, ἡ δὲ κατεκρημνίσθη, ὡς γράφει Φύλαρχος διὰ τῆς δωδεκάτης τάδε 〈λέγων〉· « ἡ πάρεδρος τῆς Λαοδίκης Δανά η , πιστευομένη ὑ π ' αὐτῆς τὰ πάντ α , Λεοντίου δ ' οὖσα τῆς με τ ' Ἐπικούρου τοῦ φυσικοῦ σχολασάσης θυγάτη ρ , Σώφρονος δὲ γεγονυῖα πρότερον ἐρωμέν η , παρακολουθοῦσα διότι ἀποκτεῖναι βούλεται τὸν Σώφρονα ἡ Λαοδίκη διανεύει τῶι Σώφρονι μηνύουσα τὴν ἐπιβουλή ν . ὁ δὲ συλλαβὼν καὶ προσποιηθεὶς συγχωρεῖν περὶ ὧν λέγει δ υ ' ἡμέρας παρῃτήσατο εἰς σκέψιν · καὶ συγχωρησάσης νυκτὸς ἔφυγεν εἰς Ἔφεσο ν . μαθοῦσα δὲ ἡ Λαοδίκη τὸ ποιηθὲν ὑπὸ τῆς Δανάης κατεκρήμνισεν τὴν ἄνθρωπο ν , οὐδὲν τῶν προγεγενημένων φιλανθρώπων ἐπὶ νοῦν βαλομέν η . τὴν δὲ Δανάην φασί ν , ὡς ᾔσθετο τὸν ἐπηρτημένον αὐτῆι κίνδυνο ν , ἀνακρινομένην ὑπὸ τῆς Λαοδίκης οὐ δ ' ἀποκρίσεως αὐτὴν ἀξιῶσα ι , ἀπαγομένην τε ἐπὶ τὸν κρημνὸν εἰπεῖν ὡς δικαίως οἱ πολλοὶ καταφρονοῦσι τοῦ θείο υ , ὅτε ‘ ἐγὼ μὲν τὸν γενόμενόν μοι ἄνδρα σώσασα τοιαύτην χάριτα παρὰ τοῦ δαιμονίου λαμβάν ω , Λαοδίκη δὲ τὸν ἴδιον ἀποκτείνασα τηλικαύτης τιμῆς ἀξιοῦτα ι . ‘ »

2a,81,F 25 ATHEN. XV 48 p. 693 EF (EUST. Od. κ 519): παρὰ δὲ τοῖς Ἕλλησι ὡς θύοντες τῶι Ἡλίωι, ὥς φησι Φύλαρχος ἐν τῆι ιβ τῶν Ἱστοριῶν, μέλι σπένδουσιν, οἶνον οὐ φέροντες τοῖς βωμοῖς, δεῖν λέγοντες τὸν τὰ ὅλα συνέχοντα καὶ διακρατοῦντα θεὸν καὶ ἀεὶ περιπολοῦντα τὸν κόσμον ἀλλότριον εἶναι μέθης.

2a,81,F 26 —XIII 85 p. 606 D E: Φύλαρχος γοῦν ἐν τῆι δωδεκάτηι « Κοίρανο ς » φησίν « ὁ Μιλήσιος ἰδὼν ἁλιέας τῶι δικτύωι λαβόντας δελφῖνα καὶ μέλλοντας κατακόπτειν ἀργύριον δοὺς καὶ παραιτησάμενος ἀφῆκεν εἰς τὸ πέλαγο ς . καὶ μετὰ ταῦτα ναυαγίαι χρησάμενος περὶ Μύκονον καὶ πάντων ἀπολομένων μόνος ὑπὸ δελφῖνος ἐσώθη ὁ Κοίρανο ς . τελευτήσαντος δ ' αὐτοῦ γηραιοῦ ἐν τῆι πατρίδι καὶ τῆς ἐκφορᾶς παρὰ τὴν θάλατταν γιγνομένης κατὰ τύχην [ ἐν τῆι Μιλήτω ι] , ἐν τῶι λιμένι πλῆθος δελφίνων ἐφάνη ἐν τῆι ἡμέραι ἐκείνηι μικρὸν ἀπωτέρω τῶν συνεκκομιζόντων τὸν Κοίρανο ν , ὡσεὶ συνεκφερόντων καὶ συγκηδευόντων τὸν ἄνθρωπο ν. »

2a,81,F 27 AELIAN. NA XVII 5: Φύλαρχος ἐν τῆι δωδεκάτηι ὑπὲρ τῶν Αἰγυπτίων ἀσπίδων ᾄδει τοιαῦτα. τιμάσθαι φησὶν αὐτὰς ἰσχυρῶς, καὶ ἐκ ταύτης γε τῆς τιμῆς ἡμερωτάτας τε καὶ χειροήθεις γίνεσθαι ἐκ τῆς τροφῆς πεπωλευμένας. τοῖς παιδίοις οὖν συντρεφομένας μηδὲν ἀδικεῖν, καὶ καλουμένας δὲ ἐξέρπειν τῶν φωλεῶν καὶ ἀφικνεῖσθαι. κλῆσις δὲ αὐταῖς ὁ τῶν δακτύλων ἐστὶ κρότος. προτείνουσι δὲ ἄρα οἱ Αἰγύπτιοι καὶ ξένια αὐταῖς. ἐπὰν γὰρ ἀπὸ δείπνου γένωνται, ἄλφιτα οἴνωι καὶ μέλιτι ἀναδεύσαντες κατὰ τῆς τραπέζης τιθέασιν, ἐφ' ἧς ἔτυχον δεδειπνηκότες, εἶτα μέντοι κροτήσαντες οἱονεὶ δαιτυμόνας καλοῦσι. καὶ ἐκεῖναι ὥσπερ οὖν ὑπὸ συνθήματι παραγίνονται, καὶ ἄλλη ἀλλαχόθεν ἐξέρπει, καὶ περιστᾶσαι τὴν τράπεζαν τὴν μὲν λοιπὴν σπεῖραν ἐῶσι κατὰ τοῦ δαπέδου, ἄρασαι δὲ τὴν κεφαλὴν περιλιχμῶνται, καὶ ἡσυχῆ καὶ κατ' ὀλίγον ἐμπίμπλανται τῶν ἀλφίτων καὶ καταναλίσκουσιν αὐτά. νύκτωρ δὲ ἐὰν ἐπείγηι τι τοὺς Αἰγυπτίους, κροτοῦσι πάλιν· ὑποσημαίνει δ' ἄρα ὅδε ὁ ψόφος ἐξίστασθαί τε αὐτὰς καὶ ἀναχωρεῖν. οὐκοῦν συνιᾶσιν καὶ ἐκεῖναι τὴν τοῦ κτύπου διαφορὰν καὶ ἐφ' ὅτωι τοῦτο δρᾶται, καὶ παραχρῆμα ἀναστέλλονται καὶ ἀφανίζονται, ἐς τοὺς χηραμούς τε καὶ φωλεοὺς ἕρπουσαι. ὁ γοῦν ἀνιστάμενος οὔτε ἐμβαίνει τινὶ αὐτῶν οὔτε περιπίπτει.

2a,81,F 28* PLIN. NH X 208: de aspide miraculum Phylarcho reddatur. is enim auctor est, cum ad mensam cuiusdam veniens in Aegypto aleretur adsidue, enixa catulos, quorum ab uno filium hospitis interemptum, illam reversam ad consuetudinem cibi intellexisse culpam et necem intulisse catulo nec postea in tectum id reversam.

2a,81,F 29 ATHEN. VI 66 p. 254 F—255 A: κόλακας δ' εἶναί φησι Φύλαρχος καὶ τοὺς ἐν Λήμνωι κατοικοῦντας Ἀθηναίων ἐν τῆι τρισκαιδεκάτηι τῶν Ἱστοριῶν. χάριν γὰρ ἀποδιδόντες τοῖς Σελεύκου καὶ Ἀντιόχου ἀπογόνοις, ἐπεὶ αὐτοὺς ὁ Σέλευκος πικρῶς ἐπιστατουμένους ὑπὸ

Λυσιμάχου οὐ μόνον ἐξείλετο, ἀλλὰ καὶ τὰς πόλεις αὐτοῖς ἀπέδωκεν ἀμφοτέρας, οἱ Λημνόθεν Ἀθηναῖοι οὐ μόνον ναοὺς κατεσκεύασαν τοῦ Σελεύκου, ἀλλὰ καὶ τοῦ υἱοῦ Ἀντιόχου· καὶ τὸν ἐπιχεόμενον κύαθον ἐν ταῖς συνουσίαις Σελεύκου Σωτῆρος καλοῦσιν.

2a,81,F 30 ATHEN. XIII 64 p. 593 E: ὁ δ’ αὐτὸς Φύλαρχος καὶ περὶ Μύστας ἱστορεῖ ἐν τῆι τεσσαρεσκαιδεκάτηι οὕτως· « Μύστα Σελεύκου τοῦ βασιλέως ἐρωμένη ἦν · ἥτις ὑπὸ Γαλατῶν Σελεύκου νικηθέντος καὶ μόλις ἐκ τῆς φυγῆς διασωθέντος αὐτὴ μεταμφιεσαμένη τὴν βασιλικὴν ἐσθῆτα καὶ ῥάκια λαβοῦσα θεραπαινίδος τῆς τυχούσης συλληφθεῖσα ἀπήχθη μετὰ τῶν ἄλλων αἰχμαλώτων καὶ πραθεῖσα ὁμοίως ταῖς ἑαυτῆς θεραπαινίσιν ἦλθεν εἰς Ῥόδο ν . ἔνθα ἐκφήνασα ἑαυτὴν ἥτις ἦν περισπουδάστως ὑπὸ τῶν Ῥοδίων τῶι Σελεύκωι διεπέμφθ η. »

2a,81,F 31 —VI 78 p. 261 B: ἐν δὲ τῆι τεσσαρεσκαιδεκάτηι γράφει οὕτως· « περιεώρα Δημήτριος ( s c . ὁ Πολιορκητή ς ) τοὺς κολακεύοντας αὐτὸν ἐν τοῖς συμποσίοις καὶ ἐπιχεομένους Δημητρίου μὲν μόνου βασιλέω ς , Πτολεμαίου δὲ [ μόνο υ ] ναυάρχο υ , Λυσιμάχου δὲ γαζοφύλακο ς , Σελεύκου δ ’ ἐλεφαντάρχο υ . καὶ ταῦτα αὐτῶι οὐ τὸ τυχὸν συνῆγε μῖσο ς. »

2a,81,F 32a PARTHEN. narr. am. 15: Περὶ Δάφνης. ἡ ἱστορία παρὰ Διοδώρωι τῶι Ἐλαίτηι ἐν ἐλεγείαις καὶ Φυλάρχωι ἐν ιε . περὶ δὲ τῆς Ἀμύκλα θυγατρὸς τάδε λέγεται Δάφνης. αὕτη τὸ μὲν ἅπαν εἰς πόλιν οὐ κατήιει οὐδ’ ἀνεμίσγετο ταῖς λοιπαῖς παρθένοις, παρασκευασαμένη δὲ πολλοὺς κύνας ἐθήρευεν καὶ ἐν τῆι Λακωνικῆι καὶ ἔστιν ὅτε ἐπιφοιτῶσα εἰς τὰ λοιπὰ τῆς Πελοποννήσου ὄρη. δι’ ἣν αἰτίαν μάλα καταθύμιος ἦν Ἀρτέμιδι, καὶ αὐτὴν εὔστοχα βάλλειν ἐποίει. (2) ταύτης περὶ τὴν Ἠλιδίαν ἀλωμένης Λεύκιππος, Οἰνομάου παῖς, εἰς ἐπιθυμίαν ἦλθε καὶ τὸ μὲν ἄλλως πως αὐτῆς πειρᾶσθαι ἀπέγνω, ἀμφιεσάμενος δὲ γυναικείαις ἀμπεχόναις καὶ ὁμοιωθεὶς κόρηι συνεθήρα αὐτῆι. ἔτυχε δέ πως αὐτῆι κατὰ νοῦν γενόμενος οὐ μεθίει τε αὐτὸν ἀμφιπεσοῦσά τε καὶ ἐξηρτημένη πᾶσαν ὥραν. (3) Ἀπόλλων δὲ καὶ αὐτὸς τῆς παιδὸς πόθωι καιόμενος ὀργῆι τε καὶ φθόνωι εἴχετο τοῦ Λευκίππου συνόντος καὶ ἐπὶ νοῦν αὐτῆι βάλλει σὺν ταῖς λοιπαῖς παρθένοις ἐπὶ κρήνην ἐλθούσαις λούεσθαι. ἔνθα δὴ ὡς ἀφικόμεναι ἀπεδιδύσκοντο καὶ ἑώρων τὸν Λεύκιππον μὴ βουλόμενον, περιέρρηξαν αὐτόν. μαθοῦσαι δὲ τὴν ἀπάτην καὶ ὡς ἐπεβούλευεν αὐταῖς, πᾶσαι μεθίεσαν εἰς αὐτὸν τὰς αἰχμάς. (4) καὶ ὁ μὲν δὴ κατὰ θεῶν βούλησιν ἀφανὴς γίνεται, Ἀπόλλωνα δὲ Δάφνη ἐπ’ αὐτὴν ἰόντα προιδομένη μάλα ἐρρωμένως ἔφευγεν. ὡς δὲ συνεδιώκετο, παρὰ Διὸς αἰτεῖται ἐξ ἀνθρώπων ἀπαλλαγῆναι. καὶ αὐτήν φασι γενέσθαι τὸ δένδρον τὸ ἐπικληθὲν ἀπ’ ἐκείνης δάφνην.

2a,81,F 32b PLUTARCH. Agis 9: τὴν φιλοχρημοσύνην ὡς ὀλέθριον τῆι Σπάρτηι φυλάττεσθαι διακελευομένων, καὶ τῶν ἔναγχος ἐκ Πασιφάας κεκομισμένων αὐτοῖς. ἱερὸν δὲ Πασιφάας καὶ μαντεῖον ἦν ἐν Θαλάμαις τιμώμενον ..... ὁ δὲ Φύλαρχος Ἀμύκλα θυγατέρα Δάφνην τοὔνομά φησιν ὑποφυγοῦσαν Ἀπόλλωνα βουλόμενον αὐτῆι μιγῆναι καὶ μεταβαλοῦσαν εἰς τὸ φυτὸν ἐν τιμῆι τοῦ θεοῦ γενέσθαι καὶ μαντικὴν λαβεῖν δύναμιν. ἔφασαν οὖν καὶ τὰ παρὰ ταύτης μαντεῖα προστάττειν τοῖς Σπαρτιάταις ἴσους γενέσθαι πάντας καθ’ ὃν ὁ Λυκοῦργος ἐξ ἀρχῆς ἔταξε νόμον.

2a,81,F 33 JOANN. LYD. De mens. IV 154 p. 171, 3 Wü: ἐν δὲ τῶι κατ’ αὐτὸν (sc. Κρόνον) ἱερῶι, ὥς φησι Φύλ〈αρχος ἐν τῆι ἑ〉πτακαιδεκάτηι καὶ Μένανδρός γε 〈ἐν〉 α (III), οὔτε γυνὴ οὔτε 〈κύων οὔτ〉ε μυῖ〈α〉 εἰσήιει.

2a,81,F 34 ATHEN. XIII 89 p. 609 AB: Φύλαρχος δὲ ἐν τῆι ἐννεακαιδεκάτηι Τιμῶσάν φησι τὴν Ὀξυάρτου παλλακίδα πάσας γυναῖκας ὑπερβεβληκέναι κάλλει. ταύτην δ’ ἀπεστάλκει δῶρον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Στατίραι τῆι βασιλέως γυναικί.

2a,81,F 35a APOLLON. Hist. mir. 18: Φύλαρχος ἐν κ τῶν Ἱστοριῶν ἐκ τῆς Ἰνδικῆς φησιν ἐνεχθῆναι λευκὴν ῥίζαν, ἣν κόπτοντας μεθ’ ὕδατος καταπλάττειν τοὺς πόδας, τοὺς δὲ καταπλασθέντας ἄνδρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς συνουσίας λήθην ἴσχειν καὶ γίγνεσθαι ὁμοίους εὐνούχοις. διὸ καὶ ἔτι ἀνήβων ὄντων καταχρίουσι, καὶ μέχρι θανάτου οὐκ ἐπαίρουσιν.

2a,81,F 35b ATHEN. I 32 p. 18 D E: Φύλαρχος δὲ Σανδρόκοττόν φησι τὸν Ἰνδῶν βασιλέα Σελεύκωι μεθ' ὧν ἔπεμψε δώρων ἀποστεῖλαί τινας δυνάμεις στυτικὰς τοιαύτας ὡς ὑπὸ τοὺς πόδας τιθεμένας τῶν συνουσιαζόντων οἷς μὲν ὁρμὰς ἐμποιεῖν ὀρνίθων δίκην, οὓς δὲ καταπαύειν.

2a,81,F 36 ATHEN. XIII 85 p. 606 F—607 A: ὁ δὲ αὐτὸς ἱστορεῖ Φύλαρχος διὰ τῆς εἰκοστῆς ὅσην ἐλέφας τὸ ζῶιον φιλοστοργίαν ἔσχεν εἰς παιδίον. γράφει δὲ οὕτως· « τούτωι δὲ τῶι ἐλέφαντι συνετρέφετο θήλεια ἐλέφα ς , ἣν Νίκαιαν ἐκάλουν · ἧι τελευτῶσα ἡ τοῦ τρέφοντος Ἰνδοῦ γυνὴ παιδίον αὑτῆς τριακοσταῖον παρακατέθετ ο . ἀποθανούσης δὲ τῆς ἀνθρώπου δεινή τις φιλοστοργία γέγονε τοῦ θηρίου πρὸς τὸ παιδίον · οὔτε γὰρ ἀ π ' αὐτοῦ χωριζόμενον τὸ βρέφος ὑπέμενε ν , τό δὲ εἰ μὴ βλέποι τὸ παιδίον ἤσχαλλε ν . ὅ τ ' οὖν ἡ τροφὸς ἐμπλήσειεν αὐτὸ τοῦ γάλακτο ς , ἀνὰ μέσον τῶν ποδῶν τοῦ θηρίου ἐτίθει αὐτὸ ἐν σκάφη ι . εἰ δὲ μὴ τοῦτο πεποιήκο ι , τροφὴν οὐκ ἐλάμβανεν ἡ ἐλέφα ς . καὶ μετὰ ταῦτα δ ι ' ὅλης τῆς ἡμέρας [ τοὺ ς ] καλάμους λαμβάνων ἐκ τῶν παρατιθεμένων χορτασμάτων καθεύδοντος τοῦ βρέφους τὰς μυίας ἀπεσόβει · ὅτε δὲ κλαίο ι , τῆι προβοσκίδι τὴν σκάφην ἐκίνει καὶ κατεκοίμιζεν αὐτ ό . τὸ δ ' αὐτὸ ἐποίει καὶ ὁ ἄρρην ἐλέφας πολλάκι ς. »

2a,81,F 37 ATHEN. VI 55 p. 249 D: (Duris 76 F 3 = Theopomp. 115 F 280) Φύλαρχος δ' ἐν τῆι πρώτηι καὶ εἰκοστῆι τῶν Ἱστοριῶν γελάσαντα τὸν Φίλιππον ἐπὶ τούτωι καλέσαι τε ἐπὶ δεῖπνον τὸν Ἀρκαδίωνα καὶ οὕτω τὴν ἔχθραν διαλύσασθαι.

2a,81,F 38 HARPOKR. s. Πάραλος· ... μία τῶν παρ' Ἀθηναίων πρὸς τὰς δημοσίας χρείας διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα Παράλου .... μέμνηται δὲ τοῦ Παράλου ἥρωος καὶ Φύλαρχος ἐν κα .

2a,81,F 39 ATHEN. XI 6 p. 462 B: πολλοῖς δὲ καὶ ὁ ἐν Ἰλλυριοῖς τόπος διαβόητός ἐστιν ὁ καλούμενος Κύλικες, παρ' ὧι ἐστι τὸ Κάδμου καὶ Ἁρμονίας μνημεῖον, ὡς ἱστορεῖ Φύλαρχος ἐν τῆι δευτέραι καὶ εἰκοστῆι τῶν Ἱστοριῶν.

2a,81,F 40 —XII 51 p. 536 D E: ἐν δὲ τῆι δευτέραι καὶ εἰκοστῆι ὁ αὐτὸς Πτολεμαῖόν φησι τὸν δεύτερον Αἰγύπτου βασιλεύσαντα, πάντων σεμνότατον γενόμενον τῶν δυναστῶν καὶ παιδείας εἴ τινα καὶ ἄλλον καὶ αὐτὸν ἐπιμεληθέντα, οὕτως ἐξαπατηθῆναι τὴν διάνοιαν καὶ διαφθαρῆναι ὑπὸ τῆς ἀκαίρου τρυφῆς ὥστε τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι καὶ λέγειν ὅτι μόνος εὕροι τὴν ἀθανασίαν. κατατεινόμενον οὖν ὑπὸ ποδάγρας πλείους ἡμέρας, ὥς ποτ' οὖν ἐρράισεν καὶ κατεῖδεν διά τινων ὑπολαμπάδων τοὺς Αἰγυπτίους παρὰ τὸν ποταμὸν ἀριστοποιουμένους καὶ τὰ τυχόντα προσφερομένους ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους, εἶπεν· ʻὢ τάλας ἐγώ, τὸ μηδὲ τούτων ἕνα γενέσθαιʻ.

2a,81,F 41 ATHEN. XII 55 p. 539 B—540 A: Φύλαρχος δ' ἐν τῆι τρίτηι καὶ εἰκοστῆι τῶν Ἱστοριῶν καὶ Ἀγαθαρχίδης ὁ Κνίδιος ἐν τῶι δεκάτωι Περὶ Ἀσίας (86 F 3) καὶ τοὺς ἑταίρους φασὶ τοὺς Ἀλεξάνδρου ὑπερβαλλούσηι τρυφῆι χρήσασθαι. ὧν εἷς ὢν καὶ Ἅγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι [καὶ τοῖς ὑποδήμασιν] ἐφόρει. Κλεῖτος δ' ὁ Λευκὸς καλούμενος ὅτε χρηματίζειν μέλλοι, ἐπὶ πορφυρῶν ἱματίων διαπεριπατῶν τοῖς ἐντυγχάνουσιν διελέγετο. Περδίκκαι δὲ καὶ Κρατερῶι φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τοῖς μεγέθεσιν, ὑφ' αἷς περιλαμβάνοντες τόπον 〈εὐμεγέθη〉 ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο· ἠκολούθει δὲ αὐτοῖς καὶ ὑποζύγια πολλὰ τὰ τὴν κόνιν κομίζοντα πρὸς τὴν ἐν τῆι παλαίστραι χρείαν. Λεοννάτωι δὲ καὶ Μενελάωι φιλοκυνήγοις οὖσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν, αἷς περιστάντες τὰς θήρας ἐκυνήγουν. τὰς δὲ χρυσᾶς πλατάνους καὶ τὴν χρυσῆν ἄμπελον, ὑφ' ἣν οἱ Περσῶν βασιλεῖς ἐχρημάτιζον πολλάκις καθήμενοι, σμαραγδίνους βότρυς ἔχουσαν καὶ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰνδικῶν ἀνθράκων ἄλλων τε παντοδαπῶν λίθων ὑπερβαλλόντων ταῖς πολυτελείαις, ἐλάττω φησὶν ὁ Φύλαρχος φαίνεσθαι τῆς καθ' ἡμέραν ἑκάστοτε γινομένης παρ' Ἀλεξάνδρωι δαπάνης. ἦν γὰρ αὐτοῦ ἡ σκηνὴ κλινῶν ρ , χρυσοὶ δὲ κίονες ν κατεῖχον αὐτήν. οἱ δὲ ὑπερτείνοντες οὐρανίσκοι διάχρυσοι ποικίλμασιν ἐκπεπονημένοι πολυτελέσιν ἐσκέπαζον τὸν ἄνω τόπον. καὶ πρῶτοι μὲν Πέρσαι φ μηλοφόροι περὶ αὐτὴν ἐντὸς εἱστήκεσαν πορφυραῖς καὶ μηλίναις ἐσθῆσιν ἐξησκημένοι· μετὰ δὲ τούτους τοξόται τὸν ἀριθμὸν χίλιοι, οἳ μὲν φλόγινα ἐνδεδυκότες, οἳ δὲ ὑσγινοβαφῆ, πολλοὶ δὲ καὶ κυάνεα εἶχον περιβόλαια. προειστήκεσαν δὲ τούτων ἀργυράσπιδες Μακεδόνες πεντακόσιοι. κατὰ δὲ μέσην τὴν σκηνὴν χρυσοῦς ἐτίθετο δίφρος, ἐφ' οὗ καθήμενος ἐχρημάτιζεν ὁ Ἀλέξανδρος, τῶν σωματοφυλάκων πανταχόθεν ἐφεστηκότων. ἔξωθεν δὲ κύκλωι τῆς σκηνῆς τὸ τῶν ἐλεφάντων ἄγημα διεσκευασμένον ἐφειστήκει καὶ Μακεδόνες χίλιοι Μακεδονικὰς στολὰς ἔχοντες, εἶτα μύριοι Πέρσαι, τό τε τὴν πορφύραν ἔχον πλῆθος εἰς πεντακοσίους ἦν, οἷς Ἀλέξανδρος ἔδωκε φορεῖν τὴν στολὴν ταύτην. τοσούτων δὲ ὄντων καὶ τῶν φίλων καὶ τῶν θεραπευόντων οὐδεὶς ἐτόλμα προσπορεύεσθαι Ἀλεξάνδρωι· τοιοῦτον ἐγεγόνει τὸ περὶ αὐτὸν ἀξίωμα. ἔγραψεν δὲ καί ποτε Ἀλέξανδρος [καὶ] ταῖς ἐν Ἰωνίαι πόλεσιν καὶ πρώτοις Χίοις, ὅπως αὐτῶι πορφύραν ἀποστείλωσιν· ἤθελεν γὰρ τοὺς ἑταίρους ἅπαντας ἁλουργὰς ἐνδῦσαι στολάς. ἀναγνωσθείσης δὲ τῆς ἐπιστολῆς Χίοις παρὼν Θεόκριτος ὁ σοφιστὴς νῦν ἐγνωκέναι ἔφη τὸ παρ' Ὁμήρωι εἰρημένον (Ε 83) 'ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή'.

2a,81,F 42 ATHEN. XIII 91 p. 610 D: ὅστις οὖν οὐδὲ τοῦτ' οἶδας, καίτοι συνεχῶς Φυλάρχου μνήμην ποιούμενος, ὅτι ἐν ταῖς Κείων πόλεσιν οὔτε ἑταίρας οὔτε αὐλητρίδας ἰδεῖν ἐστι; καὶ ὁ Μυρτίλος· 'τοῦτο δὲ ποῦ εἴρηκεν ὁ Φύλαρχος; κατανέγνων γὰρ αὐτοῦ πᾶσαν τὴν ἱστορίαν'. εἰπόντος δέ 'ἐν τῆι τρίτηι καὶ εἰκοστῆι' ......

2a,81,F 43 ATHEN. VI 102 p. 271 EF: οἱ δὲ μόθακες καλούμενοι παρὰ Λακεδαιμονίοις ἐλεύθεροι μέν εἰσιν, οὐ μὴν Λακεδαιμόνιοι. λέγει δὲ περὶ αὐτῶν Φύλαρχος ἐν τῆι πέμπτηι καὶ εἰκοστῆι τῶν Ἱστοριῶν οὕτως· « εἰσὶ δ ' οἱ μόθακες σύντροφοι τῶν Λακεδαιμονίω ν . ἕκαστος γὰρ τῶν πολιτικῶν παίδω ν , ὧς ἂν κατὰ τὰ ἴδια ἐκποιῶσι ν , οἱ μὲν ἕν α , οἱ δὲ δύ ο , τινὲς δὲ πλείους ποιοῦνται συντρόφους αὑτῶ ν . εἰσὶν οὖν οἱ μόθακες ἐλεύθεροι μέ ν , οὐ μὴν Λακεδαιμόνιοί γ ε , μετέχουσιν δὲ τῆς παιδείας πάση ς . τούτων ἕνα φασὶ γενέσθαι καὶ Λύσανδρον τὸν καταναυμαχήσαντα τοὺς Ἀθηναίου ς , πολίτην γενόμενον δ ι ' ἀνδραγαθία ν. »

2a,81,F 44 —IV 20—21 p. 141 F—142 F: Φύλαρχος γοῦν ἐν τῆι [ι]ε καὶ κ τῶν Ἱστοριῶν τάδε γράφει περὶ αὐτῶν· « Λακεδαιμόνιοι εἰς μὲν τὰ φιδίτια οὐκ ἤρχοντο κατὰ τὸ πάτριον ἔθος · ὅτε δὲ καὶ παραγένοιντ ο , μικρὰ συμπεριενεχθεῖσι νόμου χάριν παρεσκευάζετο καὶ πάλιν αὐτοῖς στρωμναί τε τοῖς μεγέθεσιν οὕτως ἐξησκημέναι πολυτελῶς καὶ τῆι ποικιλίαι διαφόρως ὥστε τῶν ξένων ἐνίους τῶν παραληφθέντων ὀκνεῖν τὸν ἀγκῶνα ἐπὶ τὰ προσκεφάλαια ἐρείδει ν . οἱ δὲ πρότερον ἐπὶ τοῦ κλιντηρίου ψιλοῦ διακαρτεροῦντες [ τῆς κλίνη ς ] πα ρ ' ὅλην τὴν συνουσία ν , ὅτε τὸν ἀγκῶνα ἅπαξ ἐρείσεια ν , ** εἰς δὲ τὴν προειρημένην τρυφὴν ἦλθον ποτηρίων τ ' ἐκθέσεις πολλῶν καὶ βρωμάτων παντοδαπῶς πεποιημένων παραθέσει ς , ἔτι δὲ μύρων ἐξηλλαγμένω ν , ὡς δ ' αὔτως οἴνων καὶ τραγημάτω ν . καὶ τούτων ἦρξαν οἱ μικρὸν πρὸ Κλεομένους βασιλεύσαντες Ἄρευς καὶ Ἀκρότατος αὐλικὴν ἐξουσίαν ζηλώσαντες · οὓς τοσοῦτον [ αὖθι ς ] ὑπερῆράν τινες τῶν ἰδιωτῶν τῶν ἐν Σπάρτηι γενομένων κα τ ' ἐκεῖνον τὸν χρόνον τῆι πολυτελείαι τῆι κα θ ' αὑτού ς , ὥστε δοκεῖν τὸν Ἄρεα καὶ τὸν Ἀκρότατον εὐτελείαι πάντας ὑπερβεβληκέναι τοὺς ἀφελεστάτους τῶν πρότερο ν . Κλεομένης δὲ πολὺ διενέγκας τῶι τε συνιδεῖν πράγματα καίτοι νέος ὢν ** καὶ κατὰ τὴν δίαιταν ἀφελέστατος γέγονε ν . ἤδη γὰρ τηλικούτων πραγμάτων ἡγούμενος ἔμφασιν τοῖς παραλαμβανομένοις πρὸς τὴν θυσίαν ἐποίε ι , διότι τὰ παρὰ ἐκείνοις τῶν πα ρ ' αὐτὸν οὐδὲν καταδεέστερον εἴη παρασκευαζόμεν α . πολλῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ πρεσβειῶν παραγινομένων πρὸς αὐτὸν οὐδέποτε ἐνωρίστερον τοῦ κατειθισμένου συνῆγεν καιροῦ πεντακλίνου τε διεστρώννυτο οὐδέποτε πλεῖον · ὅτε δὲ μὴ παρείη πρεσβεί α , τρίκλινο ν . καὶ πρόσταγμα οὐκ ἐγίνετο δ ι ’ ἐδεάτρου τίς εἴσεται καὶ κατακλιθήσεται πρῶτο ς , ἀλ λ ’ ὁ πρεσβύτατος ἡγεῖτο ἐπὶ τὰς κλίνα ς , εἰ μή τι ν ’ αὐτὸς προσκαλέσαιτ ο . κατελαμβάνετο δὲ ἐπὶ τὸ πολὺ μετὰ τἀδελφοῦ κατακείμενος ἢ μετά τινος τῶν ἡλικιωτῶ ν . ἐπί τε τῶι τρίποδι ψυκτὴρ χαλκοῦς ἐπέκειτο καὶ κάδος καὶ σκαφίον ἀργυροῦν δύο κοτύλας χωροῦν καὶ κύαθο ς , ἡ δ ’ ἐπίχυσις χαλκ ῆ . πιεῖν δ ’ οὐ προσεφέρετο εἰ μή τις αἰτήσειεν · ἐδίδοτο δὲ κύαθος εἷς πρὸ τοῦ δείπνο υ , αὐτῶι δὲ πολὺ πρώτωι · καὶ ὅτε προσνεύσειεν ἐκεῖνο ς , οὕτως ᾔτουν καὶ οἱ λοιπο ί . τὰ δὲ παρατιθέμενα ἐπὶ μὲν τραπεζίου ἦν τοῦ τυχόντο ς , τὰ δὲ λοιπὰ ὥστε μή θ ’ ὑπεραίρειν μή τ ’ ἐλλείπει ν , ἀλ λ ’ ἱκανὰ ἅπασι γίνεσθαι καὶ μὴ προσδεῖσθαι τοὺς παρόντα ς . οὔτε γὰρ οὕτως ᾤιετο δεῖν ὥσπερ ἐν τοῖς φιδιτίοις δέχεσθαι ζωμῶι καὶ κρεαιδίοις ἀφελῶς οὔτε πάλιν οὕτως ὑπερτείνειν ὡς εἰς τὸ μηθὲν δαπανᾶ ν , ὑπερβάλλοντα τὸ σύμμετρον τῆς διαίτη ς . τὸ μὲν γὰρ ἀνελεύθερον ἐνόμιζ ε , τὸ δ ’ ὑπερήφανο ν . ὁ δ ’ οἶνος ἦν μικρῶι βελτίω ν , ὅτε παρείησάν τινε ς . ἐπεὶ δὲ δειπνήσεια ν , ἐσιώπων πάντε ς , ὅ τε

2a,81,F 44 (59) παῖς ἐφειστήκει κεκραμένον ἔχων τὸ ποτὸν καὶ τῶι αἰτοῦντι προσέφερ ε . τὸν αὐτὸν δὲ τρόπον καὶ μετὰ τὸ δεῖπνον οὐ πλεῖον ἐδίδοτο δύο κυάθω ν , καὶ τοῦτο προσνεύσαντι προσεφέρετ ο . ἀκρόαμα δὲ οὐδὲν οὐδέποτε παρ 〈εισ〉 επορεύετ ο , διετέλει δ ’ αὐτὸς προσομιλῶν πρὸς ἕκαστον καὶ πάντας ἐκκαλούμενος εἰς τὸ τὰ μὲν ἀκούει ν , τὰ δὲ λέγειν αὐτού ς , ὥστε τεθηρευμένους ἀποτρέχειν ἅπαντα ς. »

2a,81,F 45 ATHEN. XII 20—21 p. 521 B—E: Φύλαρχος δ’ ἐν τῆι πέμπτηι καὶ εἰκοστῆι τῶν Ἱστοριῶν εἰπὼν ὅτι παρὰ Συρακοσίοις νόμος ἦν τὰς γυναῖκας μὴ κοσμεῖσθαι χρυσῶι μηδ’ ἀνθινὰ φορεῖν μηδ’ ἐσθῆτας ἔχειν πορφυρᾶς ἐχούσας παρυφάς, ἐὰν μή τις αὐτῶν συγχωρῆι ἑταίρα εἶναι κοινή, καὶ ὅτι ἄλλος ἦν νόμος τὸν ἄνδρα μὴ καλλωπίζεσθαι μηδ’ ἐσθῆτι περιέργωι χρῆσθαι καὶ διαλλαττούσηι, ἐὰν μὴ ὁμολογῆι μοιχεύειν ἢ κίναιδος εἶναι, καὶ τὴν ἐλευθέραν μὴ ἐκπορεύεσθαι ἡλίου δεδυκότος, ἐὰν μὴ μοιχευθησομένην· ἐκωλύετο δὲ καὶ ἡμέρας ἐξιέναι ἄνευ τῶν γυναικονόμων ἀκολουθούσης αὐτῆι μιᾶς θεραπαινίδος, « Συβαρῖτα ι» , φησίν, « ἐξοκείλαντες εἰς τρυφὴν ἔγραψαν νόμον 〈περὶ τοῦ〉 τὰς γυναῖκας εἰς τὰς ἑορτὰς καλεῖν καὶ τοὺς εἰς τὰς θυσίας καλοῦντας πρὸ ἐνιαυτοῦ τὴν παρασκευὴν ποιεῖσθα ι , ἵνα ἀξίως ποιούμενοι 〈διὰ〉 τοῦ χρόνου τῶν τε ἱματίων καὶ τοῦ λοιποῦ κόσμου 〈τὴν παρασκευὴν〉 προάγωσιν οὕτως εἰς τὰς κλήσει ς . εἰ δέ τις τῶν ὀψοποιῶν ἢ μαγείρων ἴδιον εὕροι βρῶμα καὶ περιττό ν , [ τὴ ν ] ἐξουσίαν μὴ εἶναι χρήσασθαι τούτωι ἕτερον πρὸ ἐνιαυτοῦ ἀλ λ ’ 〈ἢ〉 αὐτῶι τῶι εὑρόντ ι , τὸν χρόνον τοῦτον ὅπως ὁ πρῶτος εὑρὼν καὶ τὴν ἐργασίαν ἔχη ι , πρὸς τὸ τοὺς ἄλλους φιλοπονοῦντας αὐτοὺς ὑπερβάλλεσθαι τοῖς τοιούτοι ς . ὡσαύτως δὲ μηδὲ τοὺς τὰς ἐγχέλεις πωλοῦντας τέλος ἀποτίνειν μηδὲ τοὺς θηρεύοντα ς . τὸν αὐτὸν τρόπον καὶ τοὺς τὴν πορφύραν τὴν θαλαττίαν βάπτοντας καὶ τοὺς εἰσάγοντας ἀτελεῖς ἐποίησα ν . πάνυ οὖν ἐξοκείλαντες εἰς ὕβριν τὸ τελευταῖον παρὰ Κροτωνιατῶν λ πρεσβευτῶν ἡκόντων ἅπαντας αὐτοὺς ἀπέκτειναν καὶ πρὸ τοῦ τείχους τὰ σώματα ἐξέρριψαν καὶ ὑπὸ θηρίων εἴασαν διαφθαρῆνα ι . αὕτη δ ’ αὐτοῖς καὶ τῶν κακῶν ἐγένετο ἀρχ ή , μηνίσαντος τοῦ δαιμονίο υ . ἔδοξαν γοῦν με τ ’ ὀλίγας ἡμέρας πάντες αὐτῶν οἱ ἄρχοντες τὴν αὐτὴν ἰδεῖν ὄψιν ἐν τῆι αὐτῆι νυκτί · τὴν γὰρ Ἥραν ἰδόντες ἐλθοῦσαν εἰς μέσην τὴν ἀγορὰν καὶ ἐμοῦσαν χολή ν . ἀνέβλυσεν δὲ καὶ αἵματος πηγὴ ἐν τῶι ἱερῶι αὐτῆ ς . καὶ οὐδὲ οὕτως ἔληξαν τῆς ὑπερηφανία ς , ἕως πάντες ὑπὸ Κροτωνιατῶν ἀπώλοντ ο. »

2a,81,F 46 ATHEN. VI 58 p. 251 D: ἐν δὲ τῆι ὀγδόηι καὶ εἰκοστῆι ὁ αὐτὸς Φύλαρχος Ἀντιγόνου τοῦ κληθέντος Ἐπιτρόπου τοὺς Λακεδαιμονίους ἑλόντος κόλακα γενέσθαι Ἀπολλοφάνη τὸν εἰπόντα τὴν Ἀντιγόνου τύχην ἀλεξανδρίζειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2a,81,F 47 SCHOL. ARISTEID. Panath. p. 320, 9 Ddf.: τὸ Παλλάδιον ... τὸ ἀπὸ Τροίας ... λέγει δὲ ἂν καὶ περὶ ἄλλων πολλῶν Παλλαδίων· τοῦ τε κατ’ Ἀλ〈αλ〉κομενὸν τὸν αὐτόχθονα καὶ τῶν παρὰ Ἀθηναίοις γεφυραίων καλουμένων, ὡς Φερεκύδης (3 F 179) καὶ Ἀντίοχος (VI) ἱστοροῦσι· καὶ τῶν κατενηνεγμένων μὲν 〈ἐν〉 τῆι τῶν γιγάντων μάχηι, ὡς ἐν Ἀγράφοις ὁ Φύλαρχός φησιν.

2a,81,F 48 PLUT. Pyrrh. 27: ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς πήχεων ἕξ, τὸ δὲ βάθος τεττάρων, τὸ δὲ μῆκος ὀκτάπλεθρον, ὡς ἱστορεῖ Φύλαρχος, ὡς δ’ Ἱερώνυμος (154 F 14), ἔλαττον.

2a,81,F 49 PLIN. NH VIII 158: Phylarchus refert Centaretum e Galatis in proelio occiso Antiocho potitum equo eius conscendisse ovantem, at illum indignatione accensum domitis frenis, ne regi posset, praecipitem in abrupta isse exanimatumque una.

2a,81,F 50 ATHEN. II 51 p. 58 C: Φύλαρχος ὁ Ἀθηναῖος ἢ Ναυκρατίτης ἐν οἷς ὁ λόγος ἐστὶν αὐτῶι περὶ Ζηλᾶ τοῦ Βιθυνῶν βασιλέως, ὃς ἐπὶ ξένια καλέσας τοὺς τῶν Γαλατῶν ἡγεμόνας ἐπιβουλεύσας αὐτοῖς καὶ αὐτὸς διεφθάρη, φησὶν οὕτως, εἰ μνήμης εὐτυχῶ· « πρόπομά τι πρὸ τοῦ δείπνου περιεφέρετ ο , καθὼς εἰώθει τὸ πρῶτο ν. »

2a,81,F 51 PLUT. Kleom. 5: τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων καὶ τῶι Κλεομένει πρὸς τὰς στρατείας ἐνισταμένων, ὥρμησε μεταπέμπεσθαι τὸν Ἄγιδος ἀδελφὸν Ἀρχίδαμον ἐκ Μεσσήνης, ὧι βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας ἦν προσῆκον, οἰόμενος ἀμβλυτέραν τὴν τῶν ἐφόρων ἀρχὴν ἔσεσθαι τῆς βασιλείας ἰσορρόπου καὶ ὁλοκλήρου γενομένης. οἱ δ’ ἀνηιρηκότες πρότερον τὸν Ἆγιν αἰσθόμενοι τοῦτο καὶ φοβηθέντες μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα καὶ συγκατῆγον, εὐθὺς δ’ ἀπέκτειναν, εἴτ’ ἄκοντος τοῦ Κλεομένους, ὡς οἴεται Φύλαρχος, εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον αὐτοῖς. τῆς γὰρ αἰτίας τὸ πλεῖστον ἐπ’ ἐκείνους ἦλθε, βεβιάσθαι τὸν Κλεομένη δοκοῦντας.

2a,81,F 52 PLUT. Arat. 38: διὸ καὶ μέμφονται τὸν Ἄρατον ἐν σάλωι μεγάλωι καὶ χειμῶνι τῶν πραγμάτων φερομένων ὥσπερ κυβερνήτην ἀφέντα καὶ προέμενον ἑτέρωι τοὺς οἴακας, ὅτε καλῶς εἶχε καὶ ἀκόντων ἐπιστάντα σώιζειν τὸ κοινόν· 〈εἰ δ’〉 ἀπεγνώκει τὰ πράγματα καὶ τὴν δύναμιν τῶν Ἀχαιῶν, εἶξαι τῶι Κλεομένει καὶ μὴ πάλιν τὴν Πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς Μακεδόνων μηδὲ πληρῶσαι τὸν Ἀκροκόρινθον Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν, μηδ’ οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταστρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς Ὑπομνήμασι (231) λοιδορῶν διετέλει, τούτους ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι, συμμάχους ὑποκοριζόμενον. εἰ δὲ Κλεομένης ἦν—λεγέσθω γὰρ οὕτως—παράνομος καὶ τυραννικός, ἀλλ’ Ἡρακλεῖδαι πατέρες αὐτῶι καὶ Σπάρτηι πατρίς, ἧς τὸν ἀφανέστατον ἠξίουν 〈ἂν〉 ἀντὶ τοῦ πρώτου Μακεδόνων ἡγεμόνα ποιεῖσθαι τοὺς ἔν τινι λόγωι τὴν Ἑλληνικὴν τιθεμένους εὐγένειαν. καίτοι Κλεομένης ᾔτει τὴν ἀρχὴν παρὰ τῶν Ἀχαιῶν ὡς πολλὰ ποιήσων ἀγαθὰ τὰς πόλεις ἀντὶ τῆς τιμῆς καὶ τῆς προσηγορίας ἐκείνης· Ἀντίγονος δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν αὐτοκράτωρ ἡγεμὼν ἀναγορευθείς, οὐχ ὑπήκουσε πρὶν τὸν μισθὸν αὐτῶι τῆς ἡγεμονίας ὁμολογηθῆναι τὸν Ἀκροκόρινθον, ἀτεχνῶς τὸν Αἰσώπου μιμησάμενος κυνηγόν. οὐ γὰρ πρότερον ἐπέβη τοῖς Ἀχαιοῖς δεομένοις καὶ ὑποβάλλουσιν αὑτοὺς διὰ τῶν πρεσβειῶν καὶ τῶν ψηφισμάτων, ἢ τῆι φρουρᾶι καὶ τοῖς ὁμήροις ὥσπερ χαλινουμένους ἀνασχέσθαι. καίτοι πᾶσαν ὁ Ἄρατος (231 F 4) ἀφίησι φωνὴν ἀπολογιζόμενος τὴν ἀνάγκην. ὁ Πολύβιος (II 47, 4) δ’ αὐτὸν ἐκ πολλοῦ φησι καὶ πρὸ τῆς ἀνάγκης, ὑφορώμενον τὸ θράσος τὸ τοῦ Κλεομένους, κρύφα τῶι Ἀντιγόνωι διαλέγεσθαι, καὶ τοὺς Μεγαλοπολίτας προκαθιέναι δεομένους Ἀχαιῶν ἐπικαλεῖσθαι τὸν Ἀντίγονον· οὗτοι γὰρ ἐπιέζοντο τῶι πολέμωι μάλιστα, συνεχῶς ἄγοντος αὐτοὺς καὶ φέροντος τοῦ Κλεομένους. ὁμοίως δὲ καὶ Φύλαρχος ἱστόρηκε περὶ τούτων, ὧι μὴ τοῦ Πολυβίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαρτυροῦντος οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν· ἐνθουσιᾶι γὰρ ὅταν ἅψηται τοῦ Κλεομένους ὑπ’ εὐνοίας, καὶ καθάπερ ἐν δίκηι τῆι ἱστορίαι τῶι μὲν ἀντιδικῶν διατελεῖ τῶι δὲ συναγορεύων.

2a,81,F 53 POLYB. II 56, 6: (T 3) βουλόμενος δὴ διασαφεῖν τὴν ὠμότητα τὴν Ἀντιγόνου καὶ Μακεδόνων, ἅμα δὲ τούτοις τὴν Ἀράτου καὶ τῶν Ἀχαιῶν, φησὶ τοὺς Μαντινέας γενομένους ὑποχειρίους μεγάλοις περιπεσεῖν ἀτυχήμασι, καὶ τὴν ἀρχαιοτάτην καὶ μεγίστην πόλιν τῶν κατὰ τὴν Ἀρκαδίαν τηλικαύταις παλαῖσαι συμφοραῖς ὥστε πάντας εἰς ἐπίστασιν καὶ δάκρυα τοὺς Ἕλληνας ἀγαγεῖν. (7) σπουδάζων δ’ εἰς ἔλεον ἐκκαλεῖσθαι τοὺς ἀναγινώσκοντας καὶ συμπαθεῖς ποιεῖν τοῖς λεγομένοις, εἰσάγει περιπλοκὰς γυναικῶν καὶ κόμας διερριμένας καὶ μαστῶν ἐκβολάς, πρὸς δὲ τούτοις δάκρυα καὶ θρήνους ἀνδρῶν καὶ γυναικῶν ἀναμὶξ τέκνοις καὶ γονεῦσι γηραιοῖς ἀπαγομένων.

2a,81,F 54 —II 59, 1: πάλιν Ἀριστόμαχον τὸν Ἀργεῖόν φησιν, ἄνδρα τῆς ἐπιφανεστάτης οἰκίας ὑπάρχοντα καὶ τετυραννηκότα μὲν Ἀργείων πεφυκότα δ’ ἐκ τυράννων, ὑποχείριον Ἀντιγόνωι καὶ τοῖς Ἀχαιοῖς γενόμενον εἰς Κεγχρεὰς ἀπαχθῆναι καὶ στρεβλούμενον ἀποθανεῖν, ἀδικώτατα καὶ δεινότατα παθόντα πάντων ἀνθρώπων. (2) τηρῶν δὲ καὶ περὶ ταύτην τὴν πρᾶξιν ὁ συγγραφεὺς τὸ καθ’ αὑτὸν ἰδίωμα, φωνάς τινας πλάττει διὰ τῆς νυκτὸς αὐτοῦ στρεβλουμένου προσπιπτούσας τοῖς σύνεγγυς κατοικοῦσιν, ὧν τοὺς μὲν ἐκπληττομένους τὴν ἀσέβειαν, τοὺς δ’ ἀπιστοῦντας, τοὺς δ’ ἀγανακτοῦντας ἐπὶ τοῖς γινομένοις προστρέχειν πρὸς τὴν οἰκίαν φησίν.

2a,81,F 55 POLYB. II 61, 1: χωρίς τε τούτων τὰς μὲν Μαντινέων ἡμῖν συμφορὰς μετ’ αὐξήσεως καὶ διαθέσεως ἐξηγήσατο (F 53), δῆλον ὅτι καθήκειν ὑπολαμβάνων τοῖς συγγραφεῦσι τὰς παρανόμους τῶν πράξεων ἐπισημαίνεσθαι, (2) τῆς δὲ Μεγαλοπολιτῶν γενναιότητος, ἧι περὶ τοὺς αὐτοὺς ἐχρήσαντο καιρούς, οὐδὲ κατὰ ποσὸν ἐποιήσατο μνήμην, (3) ὥσπερ τὸ τὰς ἁμαρτίας ἐξαριθμεῖσθαι τῶν πραξάντων οἰκειότερον ὑπάρχον τῆς ἱστορίας τοῦ τὰ καλὰ καὶ δίκαια τῶν ἔργων ἐπισημαίνεσθαι .... (4) ὁ δέ, πῶς μὲν ἔλαβε Κλεομένης τὴν πόλιν καὶ πῶς ἀκέραιον διαφυλάξας ἐξαπέστειλε παραχρῆμα πρὸς τοὺς Μεγαλοπολίτας εἰς τὴν Μεσσήνην γραμματοφόρους, ἀξιῶν αὐτοὺς ἀβλαβῆ κομισαμένους τὴν ἑαυτῶν πατρίδα κοινωνῆσαι τῶν ἰδίων πραγμάτων, ταῦτα μὲν ἡμῖν ἐδήλωσε βουλόμενος ὑποδεῖξαι τὴν Κλεομένους μεγαλοψυχίαν καὶ μετριότητα πρὸς τοὺς πολεμίους. (5) ἔτι δὲ πῶς οἱ Μεγαλοπολῖται τῆς ἐπιστολῆς ἀναγινωσκομένης οὐκ ἐάσαιεν εἰς τέλος ἀναγνωσθῆναι, μικροῦ δὲ καταλεύσαιεν τοὺς γραμματοφόρους, ἕως τούτου διεσάφησε. (6) τὸ δ’ ἀκόλουθον καὶ τὸ τῆς ἱστορίας ἴδιον ἀφεῖλεν, τὸν ἔπαινον καὶ τὴν ἐπ’ ἀγαθῶι μνήμην τῶν ἀξιολόγων προαιρέσεων.

2a,81,F 56 —II 62, 1: οὐ μὴν ἀλλὰ τούτοις ἑξῆς φησιν ἀπὸ τῶν ἐκ τῆς Μεγάλης πόλεως λαφύρων ἑξακισχίλια τάλαντα τοῖς Λακεδαιμονίοις πεσεῖν, ὧν τὰ δισχίλια Κλεομένει δοθῆναι κατὰ τοὺς ἐθισμούς. (2) ἐν δὲ τούτοις πρῶτον μὲν τίς οὐκ ἂν θαυμάσειεν τὴν ἀπειρίαν καὶ τὴν ἄγνοιαν τῆς κοινῆς ἐννοίας ὑπὲρ τῆς τῶν Ἑλληνικῶν πραγμάτων χορηγίας καὶ δυνάμεως; .... ἐγὼ γὰρ οὐ λέγω κατ’ ἐκείνους τοὺς χρόνους, ἐν οἷς ὑπό τε τῶν ἐν Μακεδονίαι βασιλέων, ἔτι δὲ μᾶλλον ὑπὸ τῆς συνεχείας τῶν πρὸς ἀλλήλους πολέμων ἄρδην κατέφθαρτο τὰ Πελοποννησίων, ἀλλ’ ἐν τοῖς καθ’ ἡμᾶς καιροῖς, ἐν οἷς ... μεγίστην καρποῦσθαι δοκοῦσιν εὐδαιμονίαν, ὅμως ἐκ Πελοποννήσου πάσης, ἐξ αὐτῶν τῶν ἐπίπλων χωρὶς σωμάτων, οὐχ οἷόν τε συναχθῆναι τοσοῦτο πλῆθος χρημάτων ...... (9) κατὰ δὲ ἐκείνους τοὺς καιροὺς ἐξ αὐτῆς τῆς Μεγάλης πόλεως ὑπερβολικῶς ἀποφαινόμενος οὐκ ἄν τις εἰπεῖν τολμήσειεν πλείω γενέσθαι τριακοσίων, (10) ἐπειδήπερ ὁμολογούμενόν ἐστι διότι καὶ τῶν ἐλευθέρων καὶ τῶν δουλικῶν σωμάτων τὰ πλεῖστα συνέβη διαφυγεῖν εἰς τὴν Μεσσήνην. μέγιστον δὲ τῶν προειρημένων τεκμήριον· (11) οὐδενὸς γὰρ ὄντες δεύτεροι τῶν Ἀρκάδων Μαντινεῖς οὔτε κατὰ τὴν δύναμιν οὔτε κατὰ τὴν περιουσίαν, ὡς αὐτὸς οὗτός φησιν, ἐκ πολιορκίας δὲ καὶ παραδόσεως ἁλόντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὥστε μήτε διαφυγεῖν μηδένα μήτε διακλαπῆναι ῥαιδίως μηδέν, ὅμως τὸ πᾶν λάφυρον ἐποίησαν μετὰ τῶν σωμάτων κατὰ τοὺς αὐτοὺς καιροὺς τάλαντα τριακόσια.

2a,81,F 57 SCHOL. MAXIM. CONF. zu Dion. Areop. II 156 ed. Antv. 1634: ἡ γὰρ ῥομφαία βαρβαρικόν ἐστιν ὅπλον, ὡς ἱστορεῖ Φύλαρχος.

2a,81,F 58 POLYB. II 63, 1: (F 56) τὸ δὲ συνεχὲς τούτωι τίς οὐκ ἂν ἔτι μᾶλλον θαυμάσειε; ταῦτα γὰρ ἀποφαινόμενος λέγει πρὸ τῆς παρατάξεως ἡμέραις δέκα μάλιστα τὸν παρὰ Πτολεμαίου πρεσβευτὴν ἐλθεῖν ἀγγέλλοντα πρὸς τὸν Κλεομένη διότι Πτολεμαῖος τὸ μὲν χορηγεῖν ἀπολέγει, διαλύεσθαι δὲ παρακαλεῖ πρὸς τὸν Ἀντίγονον. (2) τὸν δ' ἀκούσαντά φησι κρῖναι διότι δεῖ τὴν ταχίστην ἐκκυβεύειν τοῖς ὅλοις, πρὸ τοῦ συνεῖναι τὰ προσπεπτωκότα τὰς δυνάμεις, διὰ τὸ μηδεμίαν ὑπάρχειν ἐν τοῖς ἰδίοις πράγμασιν ἐλπίδα τοῦ δύνασθαι μισθοδοτεῖν. (3) ἀλλ' εἴπερ ἑξακισχιλίων ἐγκρατὴς ἐγεγόνει ταλάντων κατὰ τοὺς αὐτοὺς καιρούς, τὸν Πτολεμαῖον αὐτὸν ἠδύνατο ταῖς χορηγίαις ὑπερθέσθαι. πρὸς δὲ τὸν Ἀντίγονον, εἰ μόνον τριακοσίων ὑπῆρχε κύριος, καὶ λίαν ἱκανὸς ἦν ἀσφαλῶς ὑπομένων τρίβειν τὸν πόλεμον. τὸ δ' ἅμα μὲν πάσας ἀποφαίνειν τῶι Κλεομένει τὰς ἐλπίδας ἐν Πτολεμαίωι διὰ τὰς χορηγίας, ἅμα δὲ τοσούτων χρημάτων αὐτὸν φάναι κύριον γεγονέναι κατὰ τοὺς αὐτοὺς καιρούς, πῶς οὐ τῆς μεγίστης ἀλογίας, ἔτι δ' ἀσκεψίας ἐστὶ σημεῖον; πολλὰ δὲ καὶ ἕτερα τῶι συγγραφεῖ τοιαῦτα καὶ κατὰ τοὺς ὑποκειμένους καιροὺς καὶ παρ' ὅλην τὴν πραγματείαν κατατέτακται.

2a,81,F 59 PLUT. Kleom. 27: ... ὁ Ἀντίγονος, ἐκ πολλῆς ἀναφέρων δυνάμεως πρὸς τὸν πόλεμον, ἐξεπόνει καὶ κατήθλει τὸν Κλεομένη, γλισχρῶς καὶ μόλις πορίζοντα τοῖς ξένοις μισθὸν καὶ τροφὴν τοῖς πολίταις. ἐπεὶ τἆλλά γε πρὸς τοῦ Κλεομένους ὁ χρόνος ἦν, τῶν οἴκοι πραγμάτων ἀνιστάντων τὸν Ἀντίγονον. βάρβαροι γὰρ περιέκοπτον ἀπόντος καὶ κατέτρεχον τὴν Μακεδονίαν, καὶ τότε δὴ πολὺς ἄνωθεν Ἰλλυριῶν ἐμβεβλήκει στρατός, ὑφ' οὗ πορθούμενοι μετεπέμποντο τὸν Ἀντίγονον οἱ Μακεδόνες. καὶ παρ' ὀλίγον πρὸ τῆς μάχης συνέτυχε ταῦτα τὰ γράμματα κομισθῆναι πρὸς αὐτόν· ὧν κομισθέντων εὐθὺς ἂν ἀπῆλθε μακρὰ χαίρειν φράσας Ἀχαιοῖς. ἀλλ' ἡ τὰ μέγιστα τῶν πραγμάτων κρίνουσα τῶι παρὰ μικρὸν Τύχη τηλικαύτην ἀπεδείξατο ῥοπὴν καιροῦ καὶ δύναμιν, ὥστε, τῆς μάχης ἐν Σελλασίαι γενομένης καὶ τοῦ Κλεομένους ἀποβεβληκότος τὴν δύναμιν καὶ τὴν πόλιν, εὐθὺς παρεῖναι τοὺς καλοῦντας τὸν Ἀντίγονον. ὃ καὶ μάλιστα τὴν δυστυχίαν τοῦ Κλεομένους οἰκτροτέραν ἐποίησεν. εἰ γὰρ ἡμέρας δύο μόνας ἐπέσχε καὶ παρήγαγε φυγομαχῶν, οὐκ ἂν ἐδέησεν αὐτῶι μάχης, ἀλλ' ἐφ' οἷς ἐβούλετο διηλλάγη πρὸς τοὺς Ἀχαιοὺς ἀπελθόντων τῶν Μακεδόνων. νῦν δ' ὥσπερ εἴρηται διὰ τὴν ἀχρηματίαν ἐν τοῖς ὅπλοις τὸ πᾶν θέμενος ἠναγκάσθη δισμυρίοις, ὡς Πολύβιός φησι (II 65, 1—7), πρὸς τρισμυρίους ἀντιπαρατάξασθαι. (28) καὶ θαυμαστὸν μὲν ἐν τῶι κινδύνωι παρασχὼν ἑαυτὸν στρατηγόν, ἐκθύμοις δὲ χρησάμενος τοῖς πολίταις, οὐ μὴν οὐδὲ τῶν ξένων μεμπτῶς ἀγωνισαμένων, τῶι τρόπωι τῆς ὁπλίσεως καὶ τῶι βάρει τῆς ὁπλιτικῆς φάλαγγος ἐξεθλίβη. Φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῶι Κλεομένει τὰ πράγματα διεργασαμένην. τοῦ γὰρ Ἀντιγόνου τοὺς Ἰλλυριοὺς καὶ τοὺς Ἀκαρνᾶνας ἐκπεριελθεῖν κρύφα κελεύσαντος καὶ κυκλώσασθαι θάτερον κέρας, ἐφ' οὗ τεταγμένος ἦν Εὐκλείδας ὁ τοῦ Κλεομένους ἀδελφός, εἶτα τὴν ἄλλην ἐπὶ μάχηι δύναμιν ἐκτάττοντος, ἀπὸ σκοπῆς θεωρῶν ὁ Κλεομένης, ὡς οὐδαμοῦ τὰ ὅπλα τῶν Ἰλλυριῶν καὶ τῶν Ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη μὴ πρός τι τοιοῦτον αὐτοῖς ὁ Ἀντίγονος κέχρηται. καλέσας δὲ Δαμοτέλη τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾶν ἐκέλευσε καὶ ζητεῖν, ὅπως ἔχει τὰ κατὰ νώτου καὶ κύκλωι τῆς παρατάξεως. τοῦ δὲ Δαμοτέλους—ἦν γάρ, ὡς λέγεται, χρήμασι πρότερον ὑπ' Ἀντιγόνου διεφθαρμένος—ἀμελεῖν ἐκείνων εἰπόντος ὡς καλῶς ἐχόντων, τοῖς δὲ συνάπτουσιν ἐξ ἐναντίας προσέχειν καὶ τούτους ἀμύνεσθαι, πιστεύσας ἐπὶ τὸν Ἀντίγονον ἐχώρει καὶ τῆι ῥύμηι τῶν περὶ αὐτὸν Σπαρτιατῶν ὠσάμενος τὴν φάλαγγα τῶν Μακεδόνων ἐπὶ πέντε που σταδίους ὑποχωρούντων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκβιαζόμενος καὶ κρατῶν ἠκολούθησεν. εἶτα τῶν περὶ τὸν Εὐκλείδαν ἀπὸ θατέρου κυκλωθέντων, ἐπιστὰς καὶ κατιδὼν τὸν κίνδυνον ‘οἴχηι μοι φίλτατ’ ἀδελφέ‘ εἶπεν ‘οἴχηι, γενναῖος ὢν καὶ παισὶ ζηλωτὸς Σπαρτιατῶν καὶ γυναιξὶν ἀοίδιμος.‘ οὕτω δὲ τῶν περὶ τὸν Εὐκλείδαν ἀναιρεθέντων καὶ τῶν ἐκεῖθεν ὡς ἐκράτουν ἐπιφερομένων, ταραττομένους ὁρῶν τοὺς στρατιώτας καὶ μένειν οὐκέτι τολμῶντας, ἔσωιζεν ἑαυτόν. ἀποθανεῖν δὲ καὶ τῶν ξένων πολλοὺς λέγουσι καὶ Λακεδαιμονίους ἅπαντας πλὴν διακοσίων, ἑξακισχιλίους ὄντας. (29) ἐπεὶ δ’ εἰς τὴν πόλιν ἀφίκετο, τοῖς μὲν ἀπαντήσασι τῶν πολιτῶν παρήινει δέχεσθαι τὸν Ἀντίγονον, αὐτὸς δ’ εἶπεν εἴτε ζῶν εἴτε ἀποθανών, ὃ μέλλοι τῆι Σπάρτηι συνοίσειν, τοῦτο πράξειν. ὁρῶν δὲ τὰς γυναῖκας τοῖς μετ’ αὐτοῦ πεφευγόσι προστρεχούσας καὶ δεχομένας τὰ ὅπλα καὶ ποτὸν προσφερούσας, αὐτὸς εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ· τῆς δὲ παιδίσκης, ἣν εἶχεν ἐλευθέραν οὖσαν ἐκ Μεγάλης πόλεως ἀνειληφὼς μετὰ τὴν τῆς γυναικὸς τελευτήν, ὡς εἰώθιστο προσιούσης καὶ βουλομένης ὑπὸ στρατείας ἥκοντα θεραπεύειν, οὔτε πιεῖν ἐκδεδιψηκὼς ὑπέμεινεν οὔτε καθίσαι

2a,81,F 59 (50) κεκμηκώς, ἀλλ’ ὥσπερ ἐτύγχανε τεθωρακισμένος τῶν κιόνων τινὶ τὴν χεῖρα προσβαλὼν πλαγίαν καὶ τὸ πρόσωπον ἐπὶ τὸν πῆχυν ἐπιθεὶς καὶ χρόνον οὐ πολὺν οὕτω διαναπαύσας τὸ σῶμα καὶ τῆι διανοίαι περιδραμὼν ἅπαντας τοὺς λογισμούς, ὥρμησε μετὰ τῶν φίλων εἰς τὸ Γύθιον. κἀκεῖθεν ἐπιβάντες ἐπ’ αὐτὸ τοῦτο παρεσκευασμένων πλοίων ἀνήχθησαν.

2a,81,F 60 PLUT. Kleom. 30: ὁ δ’ Ἀντίγονος ἐξ ἐφόδου παραλαβὼν τὴν πόλιν καὶ χρησάμενος τοῖς Λακεδαιμονίοις φιλανθρώπως ... ἀνεχώρησεν ἡμέραι τρίτηι, πυθόμενος ἐν Μακεδονίαι πολὺν πόλεμον εἶναι καὶ πορθεῖσθαι τὴν χώραν ὑπὸ τῶν βαρβάρων. ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτόν, εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν καὶ κατάρρουν σύντονον. οὐ μὴν ἀπεῖπεν, ἀλλ’ ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκηι μεγίστηι καὶ φόνωι πλείστωι τῶν βαρβάρων εὐκλεέστερον ἀποθανεῖν, ὡς μὲν εἰκός ἐστι καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῆι τῆι περὶ τὸν ἀγῶνα κραυγῆι τὸ σῶμα προσαναρρήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς ‘ὢ καλῆς ἡμέρας‘ πλῆθος αἵματος ἀνήγαγε καὶ πυρέξας συντόνως ἐτελεύτησε.

2a,81,F 61a AELIAN. NA VI 29: Φύλαρχος μέμνηται παῖδα ἰσχυρῶς φιλόρνιθα ἀετοῦ νεοττὸν λαβεῖν δῶρον καὶ τρέφειν τροφῆι ποικίληι καὶ κηδεμονίαν αὐτῶι προσφέρειν πᾶσαν· οὐ γάρ τι που ὡς ἄθυρμα ἐς παιδιὰν ἔτρεφε τὸν ὄρνιν, ἀλλ’ ἐρωμένου δίκην ἢ ἀδελφοῦ νεωτέρου, οὕτως ἄρα ὁ παῖς τοῦ ἀετοῦ προμηθῶς εἶχεν. καὶ προιὼν δὲ 〈ὁ〉 χρόνος ἐς φιλίαν αὐτοὺς ἐξῆψεν ἀλλήλων ἰσχυράν. συνηνέχθη δὲ καμεῖν τὸ σῶμα τὸν παῖδα· καὶ τὸν ἀετὸν παραμένειν καὶ νοσηλεύειν τὸν τροφέα, καὶ καθεύδοντος μὲν ἡσυχάζειν, ἐγρηγορότος δὲ παρεστάναι, ἀσιτοῦντος δὲ τροφὴν μὴ προσίεσθαι. ἐπεὶ δὲ καὶ τὸν βίον ὁ παῖς κατέστρεψεν, ἠκολούθησε καὶ ὁ ἀετὸς μέχρι τοῦ μνήματος· καομένου δὲ ἑαυτὸν ἐς τὴν πυρὰν ἐνέβαλεν.

2a,81,F 61b TZETZ. Chil. IV 288: Φύλαρχος νέον ἱστορεῖ ὡς ἀετὸν θηράσας ἐθρέψατο καὶ εἴθισεν ἐκείνωι παραμένειν, ὡς καὶ νοσήσαντά ποτε τὸν νέον θεραπεύειν καὶ νοσηλεύειν δεξιῶς σπουδῆι συντονωτάτηι· τοῦ νέου τεθνηκότος δὲ καὶ πρὸς πυρὰν ἀχθέντος ὁ ἀετὸς συνείπετο τῆι ἐκφορᾶι τῆι τούτου, καυθέντος τούτου δὲ πυρᾶι καὶ οὗτος συνεκαύθη. καὶ γυναικὶ δὲ ἀετὸς σύντροφος συντεθνήσκει, τῶι πόθωι ταύτης ἀσιτῶν καὶ τελευτήσας οὕτω. καὶ Πύρρωι τῆς Ἠπείρου δὲ τῶι βασιλεῖ ὑπῆρχεν ὅμοιος τούτοις ἀετός, ὃς ἔχαιρεν ἀκούων, εἴ τίς ποτε προσφθέγξαιτο Πύρρος ὁ Ἠπειρώτης. καὶ οὗτος τεθνηκότος δὲ τοῦ Πύρρου συντεθνήσκει ἐξ ἀσιτίας καὶ λιμοῦ, τῶι πόθωι τῶι ἐκείνου. καὶ θεριστήν τις ἀετὸς ἐρρύσατο θανάτου, ἀνθ’ ὧν αὐτὸς ἐξέσωσεν ἐκ δράκοντος ἐκεῖνον .......

2a,81,F 62 AMMON. De diff. verb. p. 147 Valck: χλαμὺς καὶ χλαῖνα διαφέρει, καθὸ διὰ πολλῶν ἀπέδειξε Δίδυμος (p. 180 Schm) ἐν ὑπομνήματι Β Ἰλιάδος. ἡ μὲν χλαῖνα ἡρωικὸν φόρημα, χλαμὺς δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μακεδονικὸν μετὰ ἑξακόσια ἔτη τῶν ἡρωικῶν ὀνομασθεῖσα· Σαπφὼ πρώτη γὰρ μέμνηται τῆς χλαμύδος. διαφέρειν φησὶ καὶ τῶι σχήματι ..... προσάγεται Ἀριστοτέλην (F 500 Rose), Φύλαρχον, Πολέμωνα (IV), ὅτι πολὺ διαφέρουσιν.

2a,81,F 63 ATHEN. II 19 p. 43 F: Φύλαρχος δέ φησιν ἐν Κλείτορι εἶναι κρήνην, ἀφ’ ἧς τοὺς πιόντας οὐκ ἀνέχεσθαι τὴν τοῦ οἴνου ὀδμήν.

2a,81,F 64 —II 21 p. 44 B: ὅτι Φύλαρχός φησι Θεόδωρον τὸν Λαρισσαῖον ὑδροπότην γενέσθαι, τὸν ἀλλοτρίως ἀεί ποτε πρὸς Ἀντίγονον ἐσχηκότα τὸν βασιλέα.

2a,81,F 65 —III 3 p. 73 B—D: Φύλαρχος δέ φησιν· « οὐδέποτε πρότερον ἐν οὐδενὶ τόπωι κυάμων Αἰγυπτίων οὔτε σπαρέντων οὔ τ ’ εἰ σπείρειέ τις τικτομένων εἰ μὴ κατὰ Αἴγυπτο ν , ἐπὶ τοῦ βασιλέως Ἀλεξάνδρου τοῦ Πύρρου παρὰ τὸν Θύαμιν ποταμὸν τῆς ἐν Ἠπείρωι Θεσπρωτίας ἐν ἕλει τινὶ συνέβη φυῆνα ι . δύο μὲν οὖν ἤνεγκέ πως ἔτη καρπὸν ἐκτενῶς καὶ ηὔξησε · τοῦ δ ’ Ἀλεξάνδρου φυλακὴν ἐπιστήσαντος καὶ κωλύοντος οὐχ ὅτι λαμβάνειν τὸν βουλόμενο ν , ἀλλὰ μηδὲ προσέρχεσθαι πρὸς τὸν τόπο ν , ἀνεξηράνθη τὸ ἕλος καὶ τὸ λοιπὸν οὐχ ὅτι τὸν προειρημένον ἤνεγκε καρπό ν , ἀλ λ ’ οὐδὲ ὕδωρ εἴ ποτε ἔσχε φαίνετα ι . τὸ παραπλήσιον ἐγένετο καὶ ἐν Αἰδηψῶ ι . χωρὶς γὰρ τῶν ἄλλων ὑδάτων ναμάτιόν τι ἐφάνη ψυχρὸν ὕδωρ προιέμενον οὐ πόρρω τῆς θαλάσση ς . τούτου πίνοντες οἱ ἀρρωστοῦντες τὰ μέγιστα ὠφελοῦντο · διὸ πολλοὶ παρεγίνοντο καὶ μακρόθεν τῶι ὕδατι χρησόμενο ι . οἱ οὖν τοῦ βασιλέως Ἀντιγόνου στρατηγοὶ βουλόμενοι οἰκονομικώτεροι εἶναι διάφορόν τι ἔταξαν διδόναι τοῖς πίνουσ ι , καὶ ἐκ τούτου ἀπεξηράνθη τὸ νᾶμ α . καὶ ἐν Τρωιάδι δὲ ἐξουσίαν εἶχον οἱ βουλόμενοι τὸν πρὸ τοῦ χρόνον τὸν Τραγασαῖον ἅλα λαμβάνειν · Λυσιμάχου δὲ τέλος ἐπιβαλόντος ἠφανίσθ η . θαυμάσαντος δὲ καὶ ἀφέντος τὸν τόπον ἀτελῆ πάλιν ηὐξήθ η. »

2a,81,F 66 ATHEN. XII 31 p. 526 A—C: Κολοφώνιοι δ’ , ὥς φησι Φύλαρχος, τὴν ἀρχὴν ὄντες σκληροὶ ἐν ταῖς ἀγωγαῖ ς , ἐπεὶ εἰς τρυφὴν ἐξώκειλαν πρὸς Λυδοὺς φιλίαν καὶ συμμαχίαν ποιησάμενο ι , προήιεσαν διησκημένοι τὰς κόμας χρυσῶι κόσμω ι , ὡς καὶ Ξενοφάνης (11 B 3 Diels) φησίν · Ἁβροσύνας δὲ μαθόντες ἀνωφελέας παρὰ Λυδῶ ν , ὄφρα τυραννίης ἦσαν ἄνευ στυγερῆ ς , ἤιεσαν εἰς ἀγορὴν παναλουργέα φάρ ε ’ ἔχοντε ς , οὐ μείους ὥσπερ χίλιοι εἰς ἐπίπα ν , αὐχαλέο ι , χαίτηισιν ἀγαλλόμε ν ’ εὐπρεπέεσσιν ἀσκητοῖς ὀδμὴν χρίμασι δευόμενο ι . οὕτω δ ’ ἐξελύθησαν διὰ τὴν ἄκαιρον μέθην ὥστε τινὲς αὐτῶν οὔτε ἀνατέλλοντα τὸν ἥλιον οὔτε δυόμενον ἑωράκασι ν . νόμον τε ἔθεντ ο , ὃς ἔτι καὶ ἐ φ ’ ἡμῶν ἦ ν , τὰς αὐλητρίδας καὶ τὰς ψαλτρίας καὶ πάντα τὰ τοιαῦτα τῶν ἀκροαμάτων τὰ μισθώματα λαμβάνειν ἀπὸ πρωὶ μέχρι μεσού 〈σησ〉 ἡμέρας καὶ μέχρι λύχνων ἁφῶν · ἀπὸ δὲ τούτου τὴν λοιπὴν νύκτα ἦσαν πρὸς τῶι μεθύει ν .

2a,81,F 67 DIOG. LAERT. IX 115: ὡς δ’ Ἱππόβοτός φησι (IV) καὶ Σωτίων (IV), διήκουσαν αὐτοῦ (sc. Τίμωνος) Διοσκουρίδης Κύπριος καὶ Νικόλοχος Ῥόδιος καὶ Εὐφράνωρ Σελευκεὺς Πραύλος τ’ ἀπὸ Τρωάδος, ὃς οὕτω καρτερικὸς ἐγένετο, καθά φησι Φύλαρχος ἱστορῶν, ὥστ’ ἀδίκως ὑπομεῖναι ὡς ἐπὶ προδοσίαι κολασθῆναι, μηδὲ λόγου τοὺς πολίτας καταξιώσας.

2a,81,F 68 ET. M. 205, 35: Βόσπορος· ... ὠνόμασται δὲ ἀπὸ Ἰοῦς .... Φύλαρχος δέ, ὅτι οἱ ἐντὸς τοῦ Εὐξείνου πόντου ἦσαν ἄπειροι γεωργίας, οἱ δὲ ἐκτὸς ἔμπειροι· διὸ καὶ Βόσπορος ἐκεῖνο τὸ μέρος ἐκαλεῖτο τοῦ πελάγους, ὅτι ἐσπείρετο. τινὲς δὲ τοὺς στενοὺς πορθμοὺς βοσπόρους εἰρῆσθαι .....

2a,81,F 69 HYGIN. Poet. astr. II 40: de cratera autem hanc historiam Phylarchus scribit: in Chersoneso, quae confinis est Troiae, ubi Protesilai sepulcrum statutum conplures dixerunt, urbs Elaeusa nomine dicitur. in qua Demiphon quidam cum regnaret, incidit eorum finibus repentina vastitas et civium interitio miranda; qua re Demiphonta permotum ferunt misisse ad Apollinis oraculum quaerentis remedium vastitatis. responso autem dato ut quotannis una de nobilium

Eulogikon public reading copy · View original HTML at eulogikon.org

genere virgo diis penatibus eorum immolaretur, Demiphon omnium filias praeter suas sorte ductas interficiebat, usque dum cuidam civium loco nobilissimo eorum nato perdoluit inceptum Demiphontis, qui negare coepit de sua filia se passurum sortiri, nisi eodem regis filiae essent coniectae. quo facto rex permotus illius filiam sine sorte ductam interfecit. quod Matusius nomine, virginis pater, instanti tempore simulavit se patriae causa non aegre ferre factum (potuisset enim postea sorte ducta nihilominus interire), quod paulatim dies regi in oblivionem perduxit. itaque cum se prope amicissimum regi virginis pater ostendisset, solenne sacrificium se habere dixit eumque et filias eius ad id conficiendum invitavit, qui nihil aliter futurum suspicatus filias ante misit, ut ipse occupatus in re civili postea veniret. quod cum ex optato Matusio accidisset, filias regis interfecit et sanguinem earum cum vino in cratere mixtum advenienti regi pro potione dari iussit. qui cum filias desideraret et quid his factum esset rescisset, Matusium cum cratere in mare proici iussit. quo facto mare, quo ille est proiectus, memoriae causa Matusium mare vocatum est, portus autem adhuc Crater appellatur. quem antiqui astrologi stellis deformarunt, ut homines meminissent, maleficium neminem temere lucrari posse neque oblivionem inimicitiarum fieri solere.

2a,81,F 70 PARTHEN. narr. am. 25: Περὶ Φαύλλου. ἱστορεῖ Φύλαρχος. Φάυλλος δὲ τύραννος ἠράσθη τῆς Ἀρίστωνος γυναικός, ὃς Οἰταίων προστάτης ἦν. οὗτος διαπεμπόμενος πρὸς αὐτὴν χρυσόν τε πολὺν καὶ ἄργυρον ἐπηγγέλλετο δώσειν, εἴ τε τινος ἄλλου δέοιτο φράζειν ἐκέλευεν ὡς οὐχ ἁμαρτησομένην. (2) τὴν δ’ ἄρα πολὺς εἶχε πόθος ὅρμου τοῦ τότε κειμένου ἐν τῶι τῆς Προνοίας Ἀθηνᾶς ἱερῶι, ὃν εἶχε λόγος Ἐριφύλης γεγονέναι, ἠξίου τε ταύτης τῆς δωρεᾶς τυχεῖν. Φάυλλος δὲ τά τε ἄλλα κατασύρων ἐκ Δελφῶν ἀναθήματα ἀναιρεῖται καὶ τὸν ὅρμον. (3) ἐπεὶ δὲ διεκομίσθη εἰς οἶκον τὸν Ἀρίστωνος, χρόνον μέν τινα ἐφόρει αὐτὸν ἡ γυνὴ μάλα περίπυστος οὖσα, μετὰ δὲ ταῦτα παραπλήσιον αὐτῆι πάθος συνέβη τῶν περὶ τὴν Ἐριφύλην γενομένων. ὁ γὰρ νεώτερος τῶν υἱῶν αὐτῆς μανεὶς τὴν οἰκίαν ὑφῆψε καὶ τήν τε μητέρα καὶ τὰ πολλὰ τῶν κτημάτων κατέφλεξεν.

2a,81,F 71 ——31: Περὶ Διμοίτου. ἱστορεῖ Φύλαρχος. λέγεται δὲ καὶ Διμοίτην ἁρμόσασθαι μὲν Τροιζῆνος [τἀδελφοῦ] θυγατέρα Εὐῶπιν· αἰσθανόμενον δὲ συνοῦσαν αὐτὴν διὰ σφοδρὸν ἔρωτα τἀδελφῶι δηλῶσαι τῶι Τροιζῆνι. τὴν δὲ διά τε δέος καὶ αἰσχύνην ἀναρτῆσαι αὑτὴν πολλὰ πρότερον λυπηρὰ καταρασαμένην τῶι αἰτίωι τῆς συμφορᾶς. (2) ἔνθα δὴ τὸν Διμοίτην μετ’ οὐ πολὺν χρόνον ἐπιτυχεῖν γυναικὶ μάλα καλῆι τὴν ὄψιν ὑπὸ τῶν κυμάτων ἐκβεβλημένηι καὶ αὐτῆς εἰς ἐπιθυμίαν ἐλθόντα συνεῖναι. ὡς δὲ ἤδη ἐνεδίδου τὸ σῶμα διὰ μῆκος χρόνου, χῶσαι αὐτῆι μέγαν τάφον καὶ οὕτως μὴ ἀνιέμενον 〈ὑπὸ〉 τοῦ πάθους ἐπικατασφάξαι αὑτόν.

2a,81,F 72 PHOT. s. οἰκουρὸν ὄφιν· τὸν τῆς Πολιάδος φύλακα· καὶ Ἡρόδοτος (VIII 41). Φύλαρχος δὲ αὐτοῦ (?) δύο.

2a,81,F 73 PHRYNICH. ecl. 397: καθώς· Γάιός τις Ἀρεθούσιος γραμματικὸς ἔφασκε δόκιμον εἶναι τοὔνομα· κεχρῆσθαι γὰρ αὐτῶι Φύλαρχον (F 2; 50). ὢ τοῦ μάρτυρος ὡς οἴκοθεν ἐπαγομένου ὃς οὐδὲ Θουκυδίδου ἤκουσε λέγοντος ‘καθὸ δεῖ εἰς Σικελίαν πλεῖν‘, ἀλλ’ οὐ καθώς. καὶ τὸ καθὰ δόκιμον.

2a,81,F 74 PLUT. Camill. 19: τῆι ἑβδόμηι φθίνοντος, περὶ ἣν δοκεῖ καὶ τὸ Ἴλιον ἁλῶναι, [Θαργηλιῶνος], ὡς Ἔφορος (70 F 226) καὶ Καλλισθένης (124 F 10) καὶ Δαμάστης (5 F 7) καὶ Φύλαρχος ἱστορήκασιν.

2a,81,F 75 —Demosth. 27: ἐν δ’ Ἀρκαδίαι καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ Φύλαρχος ἐν ἐκκλησίαι, τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ’ ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν ὅτι, καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομιζόμενον, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται. τὸν δὲ Δημοσθένην στρέψαι τὸ παράδειγμα φήσαντα, καὶ τὸ γάλα τὸ ὄνειον ἐφ’ ὑγιείαι καὶ τοὺς Ἀθηναίους ἐπὶ σωτηρίαι παραγίνεσθαι τῶν νοσούντων.

2a,81,F 76 —Them. 32: καὶ τάφον μὲν αὐτοῦ (sc. Θεμιστοκλέους) λαμπρὸν ἐν τῆι ἀγορᾶι Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ’ Ἀνδοκίδηι προσέχειν ἄξιον ἐν τῶι Πρὸς τοὺς ἑταίρους (F 3 Bl.) λέγοντι, φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους .... ὅ τε Φύλαρχος ὥσπερ ἐν τραγωιδίαι τῆι ἱστορίαι μονονοὺ μηχανὴν ἄρας καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, υἱοὺς Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ’ ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται.

2a,81,F 77 —De Alex. fort. II 11 p. 342 D: ἐκ τούτου διέβαινεν (sc. Ἀλέξανδρος), ὡς μὲν Φύλαρχός φησιν, ἡμερῶν τριάκοντ’ ἔχων ἐφόδιον.

2a,81,F 78 —De Is. et Os. 29 p. 362 BC: οὐ γὰρ ἄξιον προσέχειν τοῖς Φρυγίοις γράμμασιν, ἐν οἷς λέγεται Χάροπος μὲν τοῦ Ἡρακλέους γενέσθαι θυγάτηρ Ἶσις, Αἰακοῦ δὲ τοῦ Ἡρακλέους ὁ Τυφών· οὐδὲ Φυλάρχου μὴ καταφρονεῖν γράφοντος, ὅτι πρῶτος εἰς Αἴγυπτον ἐξ Ἰνδῶν Διόνυσος ἤγαγε δύο βοῦς, ὧν ἦν τῶι μὲν Ἆπις ὄνομα τῶι δ’ Ὄσιρις. Σάραπις δ’ ὄνομα τοῦ τὸ πᾶν κοσμοῦντός ἐστι παρὰ τὸ σαίρειν, ὃ καλλύνειν τινὲς καὶ κοσμεῖν λέγουσιν. ἄτοπα γὰρ ταῦτα τοῦ Φυλάρχου· πολλῶι δ’ ἀτοπώτερα τὰ τῶν λεγόντων, οὐκ εἶναι θεὸν τὸν Σάραπιν, ἀλλὰ τὴν Ἄπιδος σορὸν ....

2a,81,F 79a —Quaest. conv. V 7, 1 p. 680 E: καίτοι τούς γε περὶ τὸν Πόντον οἰκοῦντας πάλαι Θιβεῖς προσαγορευομένους ἱστορεῖ Φύλαρχος οὐ παιδίοις μόνον ἀλλὰ καὶ τελείοις ὀλεθρίους εἶναι· καὶ γὰρ τὸ βλέμμα καὶ τὴν ἀναπνοὴν καὶ τὴν διάλεκτον αὐτῶν παραδεχομένους τήκεσθαι καὶ νοσεῖν· ᾔσθοντο δ’ ὡς ἔοικε τὸ γιγνόμενον οἱ μιγάδες, οἰκέτας ἐκεῖθεν ὠνίους ἐξάγοντες.

2a,81,F 79b PLIN. NH VII 17: Phylarchus et in Ponto Thibiorum genus multosque alios eiusdem naturae, quorum notas tradit in altero oculo geminam pupillam, in altero equi effigiem, eosdem praeterea non posse mergi ne veste quidem degravatos.

2a,81,F 80 PORPHYR. De abst. II 56 (EUSEB. PE IV 16 p. 156 B): Φύλαρχος δὲ κοινῶς πάντας τοὺς Ἕλληνας πρὶν ἐπὶ πολεμίους ἐξιέναι ἀνθρωποκτονεῖν ἱστορεῖ.

2a,81,F 81 SCHOL. PINDAR. N IV 81 (TZETZ. Lyk. 175): Φύλαρχός φησι Θέτιν πρὸς Ἥφαιστον ἐλθεῖν εἰς τὸν Ὄλυμπον, ὅπως Ἀχιλλεῖ ὅπλα κατασκευάσηι, τὸν δὲ ποιῆσαι. ἐρωτικῶς δὲ ἔχοντα τὸν Ἥφαιστον τῆς Θέτιδος, οὐ φάναι ἂν δώσειν αὐτῆι, εἰ μὴ αὐτῶι προσομιλήσαι. τὴν δὲ αὐτῶι ὑποσχέσθαι, θέλειν μέντοι ὁπλίζεσθαι, ὅπως ἴδηι εἰ ἁρμόζει ἃ ἐπεποιήκει ὅπλα τῶι Ἀχιλλεῖ· ἴσην γὰρ αὐτὴν ἐκείνωι εἶναι. τοῦ δὲ παραχωρήσαντος ὁπλισαμένην τὴν Θέτιν φυγεῖν, τὸν δὲ οὐ δυνάμενον καταλαβεῖν σφύραν λαβεῖν καὶ πατάξαι εἰς τὸ σφυρὸν τὴν Θέτιν· τὴν δὲ κακῶς διατεθεῖσαν ἐλθεῖν εἰς Θετταλίαν καὶ ἰαθῆναι ἐν τῆι πόλει ταύτηι τῆι ἀπ’ αὐτῆς Θετιδείωι καλουμένηι.

2a,81,F 82 SCHOL. SOPH. OK 39: Φύλαρχός φησι δύο αὐτὰς (sc. τὰς Εὐμενίδας) εἶναι, τά τε Ἀθήνησιν ἀγάλματα δύο· Πολέμων (IV) δὲ τρεῖς αὐτάς φησιν.

2a,81,F 83 ZENOB. Prov. VI 13 (SUID. s. Λευκὴ ἡμέρα): τὰς ἐν τῆι φαρέτραι ψηφῖδας· Φύλαρχός φησι τοὺς Σκύθας μέλλοντας καθεύδειν ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες, καθιέναι εἰς τὴν φαρέτραν ψηφῖδα λευκήν· εἰ δὲ ὀχληρῶς, μέλαιναν. ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐκφέρειν τὰς φαρέτρας καὶ ἀριθμεῖν τὰς ψήφους· καὶ εἰ εὑρεθείησαν πλείους αἱ λευκαί, εὐδαιμονίζειν τὸν ἀπογενόμενον. ὅθεν παροιμιασθῆναι τὴν ἀγαθὴν ἡμῶν ἡμέραν λεγόντων τῶν ἐκ τῆς φαρέτρας εἶναι. καὶ Μένανδρος δέ φησι ἐν Λευκαδίαι (III 90, 315 K) τὴν ἀγαθὴν ἡμέραν λευκὴν καλεῖσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2a,81,F 84 Athen. XIV 44 p. 639 D: Κῶιοι δὲ τοὐναντίον δρῶσιν, ὡς ἱστορεῖ Μακαρεὺς ἐν τρίτωι Κωιακῶν (III): ὅταν γὰρ τῆι Ἥραι θύωσιν, δοῦλοι οὐ παραγίνονται ἐπὶ τὴν εὐωχίαν. διὸ καὶ Φύλαρχον εἰρηκέναι· σουριηι μοῦνοι μὲν ἐλεύθεροι ἱεροεργοί, ἀνδράσι προσκεινοισιν ἐλεύθερον ἆμαρ ἔχοντες· δούλων δ’ οὔτις πάμπαν ἐσέρχεται οὐδ’ ἠβαιόν.

2a,81,F 85 Schol. Veron. Verg. A IV 146: Scaurus: ‘Cretes‘, quia responso accepto ex insula Creta profec〈ti esse〉 et ducem secuti Delphum Phocidam tenuisse dicuntur adque ab eo se Delphos nominasse, ut Philarc〈hus ait〉.